ΒΙΚΤΩΡΟΣ Δ. ΚΡΗΤΙΚΟΥ

ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΗ

Γ΄ ΓΥΜΝΑΣΙΟΥ

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ

ΑΘΗΝΑ 1977

ΙΣΤ
ΑΡΧ
1977

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

19231

ΑΡΡΙΑΝΟΥ

ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΗ

(ΕΚΛΟΓΕΣ)

Μέ ἀπόφαση τῆς Ἑλληνικῆς Κυβερνήσεως τά διδακτικά βιβλία τοῦ Δημοτικοῦ, Γυμνασίου καί Λυκείου τυπώνονται ἀπό τόν Ὀργανισμό Ἐκδόσεως Διδακτικῶν βιβλίων καί μοιράζονται ΔΩΡΕΑΝ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἡ εἰσαγωγή, οἱ περιλήψεις καί οἱ ἑρμηνευτικές σημειώσεις μεταγλωττίστηκαν ἀπό τή φιλόλογο καθηγήτρια Μ. Βετσοπούλου μέ τή συμβολή τοῦ εἰδικοῦ Συμβούλου τοῦ Κ.Ε.Μ.Ε. Γ. Ζευγώλη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΚΤΩΡΟΣ Δ. ΚΡΗΤΙΚΟΥ

ΑΡΡΙΑΝΟΥ
ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΗ

(ΕΚΛΟΓΕΣ)

Γ΄ ΓΥΜΝΑΣΙΟΥ

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΑΘΗΝΑΙ 1977

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κεφαλή ἀνδριάντα ἀγάλματος τοῦ Μ. Ἀλεξάνδρου ἀπό τή Μαγνησία

(Μουσεῖον Κωνσταντινουπόλεως)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΙΣΑΓΩΓΗ

Α΄. Τά γράμματα στήν ἀρχαία Ἑλλάδα

Τά ἔργα τῶν ἀρχαίων Ἑλλήνων συγγραφέων καί ποιητῶν πού μᾶς ἔχουν διασωθεῖ, μαρτυροῦν ὅτι οἱ πρόγονοί μας καλλιέργησαν μέ μεγάλη ἐπιτυχία ὅλα τά εἴδη τοῦ λόγου. Τά δημιουργήματά τους στόν ποιητικό καί τόν πεζό λόγο εἶναι μνημεῖα ἀθάνατα πού προκαλοῦν τό θαυμασμό ὅλων τῶν πολιτισμένων ἀνθρώπων.

Στήν **ἐπική** ποίηση λ.χ. δέν ἔχει φανερωθεῖ ὥς σήμερα ποιητής ἀνώτερος ἀπό τόν Ὅμηρο καί πολύ λίγοι θά μποροῦσαν νά συναγωνιστοῦν τό **λυρικό** μας ποιητή Πίνδαρο ἤ τούς **δραματικούς** μας ποιητές, τόν Αἰσχύλο, τό Σοφοκλῆ, τόν Εὐριπίδη.

Ἀλλά καί στόν πεζό λόγο ἡ δημιουργία τῶν προγόνων μας εἶναι ἄφθαστη. Στήν **ἱστορία** ἔχουμε τόν Ἡρόδοτο, τό Θουκυδίδη, τόν Ξενοφῶντα· στή **φιλοσοφία** τόν Πλάτωνα καί τόν Ἀριστοτέλη· στή **ρητορική** τό Δημοσθένη. Αὐτοί, καί μαζί τους τόσοι ἄλλοι, δείχνουν σέ ποιό βαθμό ἔφτασε ἡ ἀνάπτυξη τοῦ ἀρχαίου ἑλληνικοῦ πολιτισμοῦ.

Β΄. Ἡ ἀνάπτυξη τῆς ἱστοριογραφίας

Ὁ πεζός λόγος διαμορφώθηκε πολύ ἀργότερα ἀπό τόν ποιητικό. Κι αὐτό γιατί ἡ ποίηση εἶναι κυρίως προϊόν τῆς φαντασίας, καί φαντασία εἶχε πλούσια ὁ ἑλληνικός λαός, ἐνῶ ὁ πεζός λόγος ἀπαιτεῖ ὥριμη σκέψη καί ἐκφραστική ἀκρίβεια. Σ᾽ αὐτό ἄλλωστε συντέλεσε καί τό γεγονός ὅτι ἡ γραφή διαδόθηκε σχετικά ἀργά στήν Ἑλλάδα (μόλις τόν ἕβδομο αἰώνα π.Χ.).

Ἀπό τά εἴδη πάλι τοῦ πεζοῦ λόγου πρῶτα ἀναπτύχτηκε ἡ **ἱστοριογραφία.** Γιατί τό ἑλληνικό ἔθνος ἀπό τά πολύ παλιά ἀκόμη χρόνια εὐχαριστιόταν ν᾽ ἀσχολεῖται μέ τήν πάντα ἔνδοξή του ἱστορία, πού ἀρχικά τῆς ἔδινε τό κάλυμμα τοῦ ἐπικοῦ ποιητικοῦ λόγου· καί, ὅταν ἀνδρώθη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κε καί ἔνιωσε πώς εἶναι ἱκανό, αὐτήν πάλι πρῶτα θέλησε νά ἐκθέσει, μέ τόν πεζό λόγο τώρα.

Ὁ πρῶτος πεζογράφος πού ἀξίζει τήν ὀνομασία τοῦ ἱστορικοῦ εἶναι ὁ **Ἡρόδοτος**, πού τόν ὀνομάζουμε καί πατέρα της ἱστορίας. Ὁ Ἡρόδοτος γεννήθηκε στήν Ἁλικαρνασσό τῆς Μ. Ἀσίας γύρω στά 484 π.Χ. καί πέθανε μετά τό 425 στούς Θουρίους τῆς Ἰταλίας. Ἔγραψε τήν ἱστορία τῶν Περσικῶν πολέμων.

Ὁ μεγάλος Ἀθηναῖος ἱστορικός **Θουκυδίδης** (470—397 π.Χ.) τελειοποίησε αὐτό τό εἶδος τοῦ πεζοῦ λόγου καί συνέγραψε τήν ἱστορία τοῦ Πελοποννησιακοῦ πολέμου (431—404 π.Χ.). Ἀλλά δέν πρόφτασε νά τή συμπληρώσει· τό ἔργο του σταματᾶ στόν 21ο χρόνο τοῦ πολέμου.

Ὁ Ἀθηναῖος ἱστορικός **Ξενοφῶν** (434—355π.Χ.) συνέχισε τήν ἱστορία αὐτοῦ τοῦ πολέμου καί περίγραψε τά γεγονότα πού ἀκολούθησαν στά «Ἑλληνικά» του. Αὐτός ἔγραψε καί τό γνωστό μας ἔργο «Κύρου Ἀνάβασις» καθώς καί ἄλλα ἔργα, ἱστορικά, φιλοσοφικά καί πολιτικά.

Μετά ἀπό τούς τρεῖς αὐτούς ἱστορικούς παρουσιάστηκαν κατά καιρούς καί ἄλλοι. Οἱ πιό γνωστοί ἀνάμεσά τους ἔζησαν στήν ἐποχή μετά τήν πτώση τῆς Ἑλλάδας καί στά χρόνια τῆς ρωμαϊκῆς κυριαρχίας· εἶναι ὁ **Πλούταρχος** ἀπό τή Χαιρώνεια (50—127μ.Χ.) καί ὁ **Ἀρριανός.** Μέ τόν Ἀρριανό θά ἀσχοληθοῦμε ἰδιαίτερα, γιατί εἶναι αὐτός πού τώρα μᾶς ἐνδιαφέρει.

Γ΄. Ἡ ζωή τοῦ Ἀρριανοῦ

Ὁ Ἀρριανός γεννήθηκε τό 95μ.Χ. στή Νικομήδεια τῆς μικρασιατικῆς Βιθυνίας καί ἦταν ἕνας ἀπό τούς πιό μορφωμένους ἀνθρώπους τῆς ἐποχῆς του. Τόν καιρό ἐκεῖνο ἡ Ἑλλάδα βρισκόταν κάτω ἀπό τή ρωμαϊκή κυριαρχία, πού ἁπλωνόταν ἀπό τόν Ἀτλαντικό ὠκεανό ὥς τόν Εὐφράτη καί ἀπό τίς ἀκτές τῆς Βόρειας θάλασσας ὥς τήν Ἀφρική. Ὁ Ἀρριανός ἦταν σύγχρονος τῶν Ρωμαίων αὐτοκρατόρων Ἀδριανοῦ (117—138 μ.Χ.), Ἀντωνίνου τοῦ Εὐσεβοῦς (138—161 μ.Χ.) καί Μάρκου Αὐρήλιου (161—180 μ.Χ.). Ἀπό μικρός ἔδειξε μεγάλη ἀγάπη στά γράμματα. Νέος ἀκόμη ἦρθε στή Νικόπολη τῆς Ἠπείρου, ὅπου εἶχε ἱδρύσει φιλοσοφική σχολή ὁ περίφημος στωικός φιλόσοφος Ἐπίκτητος (50—120 μ.Χ.). Ὁ Ἀρριανός ἔγινε ἕνας ἀπό τούς πιό ἀγαπημένους μαθητές αὐτοῦ τοῦ φιλόσοφου καί διακρίθηκε γιά τή φιλομάθειά του. Ἀρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γότερα πῆγε στήν ᾽Αθήνα καί συμπλήρωσε τή μόρφωσή του στίς ρητορικές καί φιλοσοφικές σχολές πού τότε βρίσκονταν σέ μεγάλη ἄνθηση ἐκεῖ. Στήν ᾽Αθήνα γνωρίστηκε μέ τόν αὐτοκράτορα ᾽Αδριανό καί κέρδισε τήν ἐκτίμησή του. ᾽Αργότερα τόν προσκάλεσαν στή Ρώμη, ὅπου ἀπόκτησε τά δικαιώματα τοῦ Ρωμαίου πολίτη καί πῆρε τό ὄνομα τῆς αὐτοκρατορικῆς οἰκογένειας· ἐπονομάστηκε Φλάβιος. Τό 130 μ.Χ. διορίστηκε τοπάρχης τῆς Καππαδοκίας. Τό ἀξίωμα αὐτό τό διατήρησε ἑφτά χρόνια. Διακρίθηκε γιά τή διοικητική του ἱκανότητα καί τήν ἀνδρεία πού ἔδειξε ἀποκρούοντας τίς ἐπιδρομές ἑνός σκυθικοῦ λαοῦ, τῶν ᾽Αλανῶν. Τό 147 μ.Χ. ἐπιστρέφει στήν ᾽Αθήνα, ὅπου ὁ ᾽Αδριανός τόν διορίζει ἐπώνυμο ἄρχοντα. Τό 171 μ.Χ. γίνεται καί πρύτανις τῆς Πανδιονίδας φυλῆς. Σέ βαθιά γεράματα γύρισε πίσω στήν πατρίδα του τή Νικομήδεια, ὅπου καί πέθανε γύρω στά 180 μ.Χ.

Δ΄. Ἔργα τοῦ ᾽Αρριανοῦ

Ὁ ᾽Αρριανός ἔγραψε πολλά συγγράμματα. Καί, ὅπως γενικά στή ζωή του, ἔτσι καί στή συγγραφική του δράση εἶχε σάν πρότυπο τόν Ξενοφώντα. Ὅπως ἐκεῖνος εἶχε ἀγαπημένο δάσκαλό του τό Σωκράτη, ἔτσι καί ὁ ᾽Αρριανός τιμοῦσε καί ἀγαποῦσε τό φιλόσοφο ᾽Επίκτητο. ᾽Επίσης, ὅπως ὁ Ξενοφῶν, ἔτσι καί ὁ ᾽Αρριανός ἔγραψε ποικίλα συγγράμματα: ἱστορικά, γεωγραφικά, φιλοσοφικά καί στρατιωτικά.

α) **Ἱστορικό** ἔργο του εἶναι ἡ « **᾽Αλεξάνδρου ᾽Ανάβασις** »· τή διαιρεῖ σέ 7 βιβλία ἔχοντας σάν πρότυπο τό ἔργο τοῦ Ξενοφώντα «Κύρου ᾽Ανάβασις». Σ᾽ αὐτό τό σύγγραμμα ὁ ᾽Αρριανός δέν ἐξιστορεῖ μόνο τήν ἐκστρατεία τοῦ Μεγάλου ᾽Αλεξάνδρου ἐναντίον τῶν Περσῶν, ἀλλά καί ὅλη του τή ζωή.

Πηγές τῆς ἱστορίας του, ὅπως ὁ ἴδιος ἀναφέρει στό προοίμιό του, εἶναι τά παλαιότερα συγγράμματα γιά τόν ᾽Αλέξανδρο καί ἰδιαίτερα τά ἔργα τοῦ Πτολεμαίου καί τοῦ ᾽Αριστόβουλου, πού ἦταν στρατηγοί στήν ἐκστρατεία τοῦ ᾽Αλεξάνδρου ἐναντίον τῶν Περσῶν.

Ἄλλο ἱστορικό σύγγραμμα τοῦ ᾽Αρριανοῦ εἶναι ἡ « **Ἰνδική** ». Σ᾽ αὐτό περιγράφει τή χώρα τῶν Ἰνδῶν, τά ἤθη, τά ἔθιμα, τό χαρακτήρα καί τά πολιτεύματά τους. Τό ἔργο αὐτό ὁ ᾽Αρριανός τό ἔγραψε στήν ἰωνική διάλεκτο θέλοντας νά μιμηθεῖ τή γλώσσα τοῦ Ἡρόδοτου.

β) **Γεωγραφικά** ἔργα ἔγραψε ἀρκετά. ᾽Απ᾽ αὐτά σώθηκε μόνο ὁ « **Πε-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κε καί ἔνιωσε πώς εἶναι ἱκανό, αὐτήν πάλι πρῶτα θέλησε νά ἐκθέσει, μέ τόν πεζό λόγο τώρα.

Ὁ πρῶτος πεζογράφος πού ἀξίζει τήν ὀνομασία τοῦ ἱστορικοῦ εἶναι ὁ **Ἡρόδοτος**, πού τόν ὀνομάζουμε καί πατέρα της ἱστορίας. Ὁ Ἡρόδοτος γεννήθηκε στήν Ἁλικαρνασσό τῆς Μ. Ἀσίας γύρω στά 484 π.Χ. καί πέθανε μετά τό 425 στούς Θουρίους τῆς Ἰταλίας. Ἔγραψε τήν ἱστορία τῶν Περσικῶν πολέμων.

Ὁ μεγάλος Ἀθηναῖος ἱστορικός **Θουκυδίδης** (470—397 π.Χ.) τελειοποίησε αὐτό τό εἶδος τοῦ πεζοῦ λόγου καί συνέγραψε τήν ἱστορία τοῦ Πελοποννησιακοῦ πολέμου (431—404 π.Χ.). Ἀλλά δέν πρόφτασε νά τή συμπληρώσει· τό ἔργο του σταματᾶ στόν 21ο χρόνο τοῦ πολέμου.

Ὁ Ἀθηναῖος ἱστορικός **Ξενοφῶν** (434—355π.Χ.) συνέχισε τήν ἱστορία αὐτοῦ τοῦ πολέμου καί περίγραψε τά γεγονότα πού ἀκολούθησαν στά «Ἑλληνικά» του. Αὐτός ἔγραψε καί τό γνωστό μας ἔργο «Κύρου Ἀνάβασις» καθώς καί ἄλλα ἔργα, ἱστορικά, φιλοσοφικά καί πολιτικά.

Μετά ἀπό τούς τρεῖς αὐτούς ἱστορικούς παρουσιάστηκαν κατά καιρούς καί ἄλλοι. Οἱ πιό γνωστοί ἀνάμεσά τους ἔζησαν στήν ἐποχή μετά τήν πτώση τῆς Ἑλλάδας καί στά χρόνια τῆς ρωμαϊκῆς κυριαρχίας· εἶναι ὁ **Πλούταρχος** ἀπό τή Χαιρώνεια (50—127μ.Χ.) καί ὁ **Ἀρριανός.** Μέ τόν Ἀρριανό θά ἀσχοληθοῦμε ἰδιαίτερα, γιατί εἶναι αὐτός πού τώρα μᾶς ἐνδιαφέρει.

Γ΄. Ἡ ζωή τοῦ Ἀρριανοῦ

Ὁ Ἀρριανός γεννήθηκε τό 95μ.Χ. στή Νικομήδεια τῆς μικρασιατικῆς Βιθυνίας καί ἦταν ἕνας ἀπό τούς πιό μορφωμένους ἀνθρώπους τῆς ἐποχῆς του. Τόν καιρό ἐκεῖνο ἡ Ἑλλάδα βρισκόταν κάτω ἀπό τή ρωμαϊκή κυριαρχία, πού ἁπλωνόταν ἀπό τόν Ἀτλαντικό ὠκεανό ὥς τόν Εὐφράτη καί ἀπό τίς ἀκτές τῆς Βόρειας θάλασσας ὥς τήν Ἀφρική. Ὁ Ἀρριανός ἦταν σύγχρονος τῶν Ρωμαίων αὐτοκρατόρων Ἀδριανοῦ (117—138 μ.Χ.), Ἀντωνίνου τοῦ Εὐσεβοῦς (138—161 μ.Χ.) καί Μάρκου Αὐρήλιου (161—180 μ.Χ.). Ἀπό μικρός ἔδειξε μεγάλη ἀγάπη στά γράμματα. Νέος ἀκόμη ἦρθε στή Νικόπολη τῆς Ἠπείρου, ὅπου εἶχε ἱδρύσει φιλοσοφική σχολή ὁ περίφημος στωικός φιλόσοφος Ἐπίκτητος (50—120 μ.Χ.). Ὁ Ἀρριανός ἔγινε ἕνας ἀπό τούς πιό ἀγαπημένους μαθητές αὐτοῦ τοῦ φιλόσοφου καί διακρίθηκε γιά τή φιλομάθειά του. Ἀρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γότερα πῆγε στήν Ἀθήνα καί συμπλήρωσε τή μόρφωσή του στίς ρητορικές καί φιλοσοφικές σχολές πού τότε βρίσκονταν σέ μεγάλη ἄνθηση ἐκεῖ. Στήν Ἀθήνα γνωρίστηκε μέ τόν αὐτοκράτορα Ἀδριανό καί κέρδισε τήν ἐκτίμησή του. Ἀργότερα τόν προσκάλεσαν στή Ρώμη, ὅπου ἀπόκτησε τά δικαιώματα τοῦ Ρωμαίου πολίτη καί πῆρε τό ὄνομα τῆς αὐτοκρατορικῆς οἰκογένειας· ἐπονομάστηκε Φλάβιος. Τό 130 μ.Χ. διορίστηκε τοπάρχης τῆς Καππαδοκίας. Τό ἀξίωμα αὐτό τό διατήρησε ἑφτά χρόνια. Διακρίθηκε γιά τή διοικητική του ἱκανότητα καί τήν ἀνδρεία πού ἔδειξε ἀποκρούοντας τίς ἐπιδρομές ἑνός σκυθικοῦ λαοῦ, τῶν Ἀλανῶν. Τό 147 μ.Χ. ἐπιστρέφει στήν Ἀθήνα, ὅπου ὁ Ἀδριανός τόν διορίζει ἐπώνυμο ἄρχοντα. Τό 171 μ.Χ. γίνεται καί πρύτανις τῆς Πανδιονίδας φυλῆς. Σέ βαθιά γερατειά γύρισε πίσω στήν πατρίδα του τή Νικομήδεια, ὅπου καί πέθανε γύρω στά 180 μ.Χ.

Δ΄. Ἔργα τοῦ Ἀρριανοῦ

Ὁ Ἀρριανός ἔγραψε πολλά συγγράμματα. Καί, ὅπως γενικά στή ζωή του, ἔτσι καί στή συγγραφική του δράση εἶχε σάν πρότυπο τόν Ξενοφώντα. Ὅπως ἐκεῖνος εἶχε ἀγαπημένο δάσκαλό του τό Σωκράτη, ἔτσι καί ὁ Ἀρριανός τιμοῦσε καί ἀγαποῦσε τό φιλόσοφο Ἐπίκτητο. Ἐπίσης, ὅπως ὁ Ξενοφῶν, ἔτσι καί ὁ Ἀρριανός ἔγραψε ποικίλα συγγράμματα: ἱστορικά, γεωγραφικά, φιλοσοφικά καί στρατιωτικά.

α) **Ἱστορικό** ἔργο του εἶναι ἡ « **Ἀλεξάνδρου Ἀνάβασις** »· τή διαιρεῖ σέ 7 βιβλία ἔχοντας σάν πρότυπο τό ἔργο τοῦ Ξενοφώντα «Κύρου Ἀνάβασις». Σ' αὐτό τό σύγγραμμα ὁ Ἀρριανός δέν ἐξιστορεῖ μόνο τήν ἐκστρατεία τοῦ Μεγάλου Ἀλεξάνδρου ἐναντίον τῶν Περσῶν, ἀλλά καί ὅλη του τή ζωή.

Πηγές τῆς ἱστορίας του, ὅπως ὁ ἴδιος ἀναφέρει στό προοίμιό του, εἶναι τά παλαιότερα συγγράμματα γιά τόν Ἀλέξανδρο καί ἰδιαίτερα τά ἔργα τοῦ Πτολεμαίου καί τοῦ Ἀριστόβουλου, πού ἦταν στρατηγοί στήν ἐκστρατεία τοῦ Ἀλεξάνδρου ἐναντίον τῶν Περσῶν.

Ἄλλο ἱστορικό σύγγραμμα τοῦ Ἀρριανοῦ εἶναι ἡ « **Ἰνδική** ». Σ' αὐτό περιγράφει τή χώρα τῶν Ἰνδῶν, τά ἤθη, τά ἔθιμα, τό χαρακτήρα καί τά πολιτεύματά τους. Τό ἔργο αὐτό ὁ Ἀρριανός τό ἔγραψε στήν ἰωνική διάλεκτο θέλοντας νά μιμηθεῖ τή γλῶσσα τοῦ Ἡρόδοτου.

β) **Γεωγραφικά** ἔργα ἔγραψε ἀρκετά. Ἀπ' αὐτά σώθηκε μόνο ὁ « **Πε-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρίπλους Εὐξείνου Πόντου », πού περιγράφει τά παράλια τοῦ Εὔξεινου ἀπό τήν Τραπεζούντα ὥς τό Βυζάντιο πού τά εἶχε ὁ ἴδιος ἐπισκεφτεῖ, ὅταν ἦταν τοπάρχης στήν Καππαδοκία.

γ) **Στρατιωτικά** ἔργα εἶναι: 1) « **Τέχνη τακτική** »· εἶναι μιά πραγματεία γιά τή στρατιωτική τακτική τῶν Ἑλλήνων καί τῶν Μακεδόνων καί γιά τό ρωμαϊκό ἱππικό πού εἶχε ἀναδιοργανώσει ὁ Ἀδριανός.

2) « **Ἔκταξις τῶν Ἀλανῶν** »· ὁ Ἀρριανός περιγράφει τή διάταξη τοῦ ρωμαϊκοῦ στρατοῦ στήν ἐκστρατεία ἐναντίον τῶν Ἀλανῶν.

δ) **Φιλοσοφικά** ἔργα εἶναι: 1) « **Ἐπικτήτου διατριβαί** », ὅπου ἐκθέτει τή διδασκαλία τοῦ στωικοῦ φιλοσόφου.

2) « **Ἐπικτήτου ἐγχειρίδιον** », πού περιέχει περίληψη τῶν « Διατριβῶν ».

Ἐκτός ἀπ' αὐτά ὁ Ἀρριανός ἔγραψε καί τό ἔργο « **Κυνηγετικός** » σά συμπλήρωμα τοῦ ὁμώνυμου ἔργου τοῦ Ξενοφώντα.

Ε΄. Ἡ γλώσσα τοῦ Ἀρριανοῦ

Οἱ συγγραφεῖς πού ἔχουμε γνωρίσει ὥς τώρα, ὁ Ξενοφῶν, ὁ Λυσίας, ὁ Ἰσοκράτης καί ἄλλοι, ἔγραψαν στήν **ἀττική διάλεκτο**, δηλαδή στό γλωσσικό ἰδίωμα πού χρησιμοποιοῦσαν τότε στήν Ἀθήνα. Ἀργότερα ἡ διάλεκτος αὐτή δέχτηκε τύπους καί λέξεις ἀπό τίς ἄλλες ἑλληνικές διαλέκτους τῆς ἐποχῆς ἐκείνης, τήν ἰωνική, τή δωρική καί τήν αἰολική. Ἔτσι, μέ τή συγχώνευσή τους, διαμορφώθηκε ἡ γλώσσα πού ὀνομάστηκε **κοινή** καί πού μέ τίς κατακτήσεις τοῦ Μ. Ἀλεξάνδρου διαδόθηκε πάρα πολύ. Σ' αὐτή τήν κοινή γλώσσα μιλοῦσαν καί ἔγραφαν συνήθως στά χρόνια τοῦ Ἀρριανοῦ. Πολλοί συγγραφεῖς ὅμως αὐτῆς τῆς μεταγενέστερης ἐποχῆς φιλοτιμιόνταν νά μιμηθοῦν τήν ἀρχαία ἀττική διάλεκτο, ἔχοντας σάν ὑπόδειγμα τή γλώσσα πού χρησιμοποίησαν ὁ Ξενοφῶν καί ὁ Θουκυδίδης. Οἱ συγγραφεῖς αὐτοί ὀνομάζονται ἀττικιστές, δηλαδή μιμητές τῆς ἀττικῆς. Τέτοιος ἦταν καί ὁ Ἀρριανός πού καί στή γλώσσα προσπάθησε νά μιμηθεῖ τόν Ἀθηναῖο συγγραφέα τῆς «Κύρου Ἀναβάσεως». Ἡ μίμησή του εἶναι τίς περισσότερες φορές ἐπιτυχημένη, ἄν καί κάποτε ἀστοχεῖ σέ μερικούς τύπους καί συντακτικές χρήσεις. Πάντως τό ὕφος του, ἰδίως στό ἔργο του «Ἀλεξάνδρου Ἀνάβασις», εἶναι ζωηρό καί φυσικό. Ἀκόμη εἶναι φανερή ἡ εὐσυνειδησία καί ἡ ἀμεροληψία τοῦ ἱστορικοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΣΤ΄. Ὁ στρατός τοῦ Μ. Ἀλεξάνδρου

1) Τό μακεδονικό **πεζικό στρατό** τόν ἀποτελοῦσαν **ἡ φάλαγγα, οἱ ὑπασπιστές** καί **οἱ ψιλοί.**

α) Ἡ **φάλαγγα** ἀποτελοῦσε τή βάση τοῦ πεζικοῦ στρατοῦ. Ὅσοι ἀνῆκαν σ᾽ αὐτήν ὀνομάζονταν **πεζέταιροι**. Ἡ φάλαγγα χωριζόταν σέ ἕξι τάξεις, δηλαδή τάγματα· κάθε τάξη εἶχε τρεῖς λόχους καί κάθε λόχος 500 περίπου ἄντρες.

Οἱ φαλαγγίτες ἤ πεζέταιροι φοροῦσαν πλήρη πανοπλία, δηλαδή περικεφαλαία, θώρακα, κνημίδες καί κρατοῦσαν κυκλική ἀσπίδα καί τή μακεδονική σάρισα (μακρύ δόρυ). Παρατάσσονταν συνήθως σέ βάθος 16 ἀντρῶν. Οἱ σάρισες τῶν πέντε πρώτων γραμμῶν προεξεῖχαν ἀπ᾽ όλη τή φάλαγγα καί σχημάτιζαν ἀδιαπέραστο τεῖχος ἀπό αἰχμές.

β) **Οἱ ὑπασπιστές** ἦταν ἐλαφρότερα ὁπλισμένοι. Κρατοῦσαν ἐλαφρότερη ἀσπίδα, θώρακα ἀπό λινάρι, μακρύ ξίφος καί κοντό δόρυ. Ἑπομένως ἦταν κατάλληλοι γιά γρήγορες καί τολμηρές κινήσεις σέ μέρη πού ἡ φάλαγγα δέν μποροῦσε νά κινηθεῖ. Αὐτοί στήν ἀρχή ἦταν λίγοι καί ἀποτελοῦσαν τήν προσωπική φρουρά τοῦ βασιλιᾶ· γι᾽ αὐτό καί ὀνομάστηκαν « **ὑπασπιστές** ». Ἀργότερα ὅμως πλήθυναν καί ἀποτέλεσαν ἰδιαίτερο σῶμα εὐκίνητου πεζικοῦ πού ἦταν ἀντίστοιχο μέ τό σῶμα τῶν Ἀθηναίων πελταστῶν.

γ) **Οἱ ψιλοί** ἦταν πολύ ἐλαφρά ὁπλισμένοι· κρατοῦσαν ἕνα εἶδος ὅπλου καί ἀνάλογα μ᾽ αὐτό ὀνομάζονταν πελταστές, τοξότες, ἀκοντιστές ἤ σφενδονῆτες.

2. Τό **ἱππικό** διακρινόταν στό βαρύ ἱππικό καί στό ἐλαφρό.

α) **Τό βαρύ ἱππικό** τό ἀποτελοῦσαν Μακεδόνες εὐγενεῖς πού ὀνομάζονταν **ἑταῖροι**. Αὐτοί φοροῦσαν περικεφαλαία καί θώρακα, κρατοῦσαν ξίφος καί ξυστό, δηλαδή κοντή λόγχη. Οἱ ἑταῖροι σχημάτιζαν ὀκτώ ἴλες· κάθε ἴλη εἶχε 150—300 ἱππεῖς. Ἀπό αὐτές ἡ καλύτερη ἀποτελοῦσε τή **βασιλική ἴλη**, πού λεγόταν καί **ἄγημα τῶν ἑταίρων** καί ἦταν ἔφιππη σωματοφυλακή τοῦ βασιλιᾶ. Μέ τίς μακεδονικές ἴλες συνεργάζονταν καί ἴλες θεσσαλικές πού τίς ἀποτελοῦσαν εὐγενεῖς Θεσσαλοί ἱππεῖς.

β) **Τό ἐλαφρό ἱππικό** τό ἀποτελοῦσαν ἱππεῖς ἐλαφρά ὁπλισμένοι πού ἀντί γιά ξυστό κρατοῦσαν σάρισα. Αὐτοί ὀνομάζονταν **πρόδρομοι** καί ἐκτελοῦσαν χρέη ἀνιχνευτῶν σάν πρόσκοποι ἤ τούς χρησιμοποιοῦσαν γιά τήν καταδίωξη καί σύλληψη τῶν ἀντιπάλων πού τρέπονταν σέ φυγή.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3. Τό **στόλο** τοῦ Μ. Ἀλεξάνδρου ἀρχικά τόν ἀποτελοῦσαν 160 πλοῖα· μέ αὐτά πέρασε ἀπέναντι στήν Ἀσία. Ἀργότερα ὁ στόλος διαλύθηκε, γιατί δέν μποροῦσε νά ἐξυπηρετήσει τήν ἐκστρατεία πού συνεχιζόταν στή στεριά. Ἀλλά τόν καιρό τῆς πολιορκίας τῆς Τύρου νέος ἰσχυρός στόλος συγκροτήθηκε ἀπό τριήρεις κυπριακές, φοινικικές καί ἑλληνικές. Καί στήν Ἰνδική ὁ Μ. Ἀλέξανδρος ἑτοίμασε ἄλλο στόλο, μέ τόν ὁποῖο ἔπλευσε τόν Ἰνδό ποταμό. Μέ ἕνα τμῆμα αὐτοῦ τοῦ στόλου ὁ Νέαρχος, ναύαρχος ἀπό τήν Κρήτη, ἔπλευσε τό 327 π.Χ. ἀπό τόν Ἰνδό ποταμό στίς ἐκβολές τοῦ Τίγρητα καί τοῦ Εὐφράτη.

Ζ΄. Ἡ κατάσταση στήν Ἑλλάδα πρίν ἀπό τήν ἐποχή τοῦ Μ. Ἀλεξάνδρου

Γιά νά παρακολουθήσουμε τήν ἐκστρατεία στήν Ἀσία καί ὅλη τή δράση τοῦ Μ. Ἀλεξάνδρου πού ὁ Ἀρριανός μᾶς ἐξιστορεῖ, πρέπει νά θυμηθοῦμε πρῶτα τήν κατάσταση πού ἐπικρατοῦσε στήν Ἑλλάδα, προτοῦ γίνει ὁ Ἀλέξανδρος βασιλιάς.

Μετά ἀπό τό μακροχρόνιο Πελοποννησιακό πόλεμο ἡ Ἀθήνα εἶχε χάσει τήν ἡγεμονία· τήν ἀνάλαβε ἡ Σπάρτη πού ὅμως, μέ τήν ἀγέρωχη πολιτική της, προκάλεσε τήν ἀντίδραση τῶν ἄλλων ἑλληνικῶν πόλεων πού συνασπίστηκαν ἐναντίον της. Τότε ἡ Σπάρτη ζητᾶ τή βοήθεια τῶν Περσῶν πού βρίσκουν τήν εὐκαιρία νά ἐπέμβουν στίς ἑλληνικές ὑποθέσεις καί νά ἐπιβάλουν τή θέλησή τους μέ τήν εἰρήνη πού ὀνομάστηκε Ἀνταλκίδειος (387 π.Χ.). Λίγο καιρό μετά ἡ Ἀθήνα ἀποκτᾶ ξανά δύναμη καί κερδίζει πάλι γιά λίγο τήν ἡγεμονία στή θάλασσα· μά δέν τήν κρατᾶ πολύ καιρό, γιατί γρήγορα οἱ σύμμαχοί της τήν ἐγκαταλείπουν. Στό μεταξύ ἡ Θήβα, πού οἱ νίκες τοῦ Ἐπαμεινώνδα καί τοῦ Πελοπίδα τῆς ἔχουν χαρίσει λαμπρή δόξα, γίνεται πολύ δυνατή καί διεκδικεῖ τήν ἡγεμονία. Ἀλλά μετά τό θάνατο τοῦ Ἐπαμεινώνδα στή μάχη τῆς Μαντίνειας (362 π.Χ.) χάνει καί ἡ Θήβα τή δύναμή της. Ἀπό τότε καμιά ἀπό τίς μεγάλες ἑλληνικές πόλεις δέν εἶναι τόσο δυνατή, ὥστε νά ἀναλάβει πρωτοβουλία. Μέ τούς ἀνταγωνισμούς τους, μέ τήν τυφλή πολιτική πού τίς ὁδήγησε νά ζητήσουν βοήθεια ἀπό τούς ἐχθρούς τους, τούς Πέρσες, μέ τήν ἐσωτερική διοικητική καί ἠθική ἀναρχία,οἱ ἑλληνικές πόλεις ἔχασαν κάθε πολιτική δύναμη καί ἔγιναν ἀσήμαντες.

Τότε φανερώνεται μιά νέα ἑλληνική δύναμη, ἀκμαία καί ὁρμητική,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἱ Μακεδόνες. Ὁ Φίλιππος Β΄ κάνει σχέδια νά ἑνώσει ὅλους τούς Ἕλληνες σέ ἀγώνα ἐναντίον τῶν Περσῶν, πού εἶναι οἱ μόνοι φυσικοί ἀντίπαλοί τους, καί στό συνέδριο τῆς Κορίνθου (338) ἀνακηρύσσεται ἀρχιστράτηγος τῶν Ἑλλήνων ἐναντίον τῶν Περσῶν. Ἀλλά ὁ βίαιος θάνατός του δέν τόν ἄφησε νά ἐφαρμόσει τό σχέδιό του. Ἦρθε ὅμως ὁ Ἀλέξανδρος νά τό πραγματοποιήσει μέ τή μεγαλεπήβολη δράση του πού τήν ἐξιστορεῖ αὐτό τό βιβλίο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΡΟΣ Α΄

ΚΕΙΜΕΝΟ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΠΡΩΤΟ

Προοίμιο τοῦ συγγραφέα

[Στό προοίμιο ὁ Ἀρριανός ἀναφέρει τίς πηγές, ἀπ' ὅπου ἀντλεῖ τό περιεχόμενο τῆς ἱστορίας του. Μᾶς πληροφορεῖ ὅτι στηρίζεται κυρίως στίς μαρτυρίες τοῦ Πτολεμαίου καί τοῦ Ἀριστοβούλου, πού καί οἱ δυό πῆραν μέρος στήν ἐκστρατεία τοῦ Μ. Ἀλεξάνδρου, καί ἐξηγεῖ τούς λόγους, πού τόν ἔκαναν νά θεωρεῖ τίς μαρτυρίες τους ἀξιόπιστες].

Ὁ Ἀλέξανδρος ἀναγνωρίζεται ἀρχηγός τῶν Ἑλλήνων στήν Πελοπόννησο (336 π.Χ.)

(Κεφ. 1)

I. Λέγεται δὴ Φίλιππος μὲν τελευτῆσαι ἐπ' ἄρχοντος
Πυθοδήμου Ἀθήνησι· παραλαβόντα δὲ τὴν βασιλείαν Ἀλέξανδρον,
παῖδα ὄντα Φιλίππου, ἐς Πελοπόννησον παρελθεῖν· εἶναι δὲ τότε
ἀμφὶ τὰ εἴκοσιν ἔτη Ἀλέξανδρον. Ἐνταῦθα ξυναγαγόντα τοὺς Ἕλ- 2
ληνας, ὅσοι ἐντὸς Πελοποννήσου ἦσαν, αἰτεῖν παρ' αὐτῶν τὴν ἡγε-
μονίαν τῆς ἐπὶ τοὺς Πέρσας στρατιᾶς, ἥντινα Φιλίππῳ ἤδη ἔδοσαν·
καὶ αἰτήσαντα λαβεῖν παρ' ἑκάστων πλὴν Λακεδαιμονίων· Λακε-
δαιμονίους δ' ἀποκρίνασθαι μὴ εἶναί σφισι πάτριον ἀκολουθεῖν ἄλ-
λοις, ἀλλ' αὐτοὺς ἄλλων ἐξηγεῖσθαι. Νεωτερίσαι δ' ἄττα καὶ τῶν 3
Ἀθηναίων τὴν πόλιν. Ἀλλ' Ἀθηναίους γε τῇ πρώτῃ ἐφόδῳ Ἀλε-
ξάνδρου ἐκπλαγέντας καὶ πλείονα ἔτι τῶν Φιλίππῳ δοθέντων Ἀλε-
ξάνδρῳ ἐς τιμὴν ξυγχωρῆσαι. Ἐπανελθόντα δ' ἐς Μακεδονίαν ἐν
παρασκευῇ εἶναι τοῦ ἐς τὴν Ἀσίαν στόλου.

[Ἐπειδή ὁ Ἀλέξανδρος ἤθελε, πρίν ἐπιχειρήσει τήν ἐκστρατεία του στήν Ἀσία, νά ἐξασφαλίσει τήν ἐξουσία του, στρέφεται τήν ἄνοιξη τοῦ 335 π.Χ. πρός τά βόρεια καί ὑποτάσσει τούς λαούς πού κατοικοῦσαν γύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρω ἀπό τή Μακεδονία: Θράκες, Γέτες, Τριβαλλούς, Ἰλλυριούς καί ἄλλους. Ἐνῶ ὅμως πολεμοῦσε ἀκόμη ἐναντίον τους, μαθαίνει πώς ἀποστάτησαν οἱ Θηβαῖοι. Τότε, σάν ἀστραπή, καταφτάνει στήν Ἑλλάδα καί στρατοπεδεύει ἔξω ἀπό τή Θήβα. Μετά ἀπό σκληρό ἀγώνα κυριεύει τήν πόλη καί τοποθετεῖ μακεδονική φρουρά στήν Καδμεία. Ἔπειτα ἐπιστρέφει στή Μακεδονία, ὅπου συμπληρώνει τίς ἑτοιμασίες του γιά τήν πορεία πρός τήν Ἀσία].

Ὁ Ἀλέξανδρος περνᾶ στήν Ἀσία (334 π.Χ.)

(Κεφ. 11–12)

3 XI. Ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ Μακεδονίαν τε καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας, αὐτὸς δ' ἄγων πεζοὺς μὲν ξὺν ψιλοῖς τε καὶ τοξόταις οὐ πολλῷ πλείους τῶν τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. Ἦν δὲ αὐτῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν Κερκινῖτιν ὡς ἐπ' Ἀμφίπο-
4 λιν καὶ τοῦ Στρυμόνος ποταμοῦ τὰς ἐκβολάς. Διαβὰς δὲ τὸν Στρυμόνα παρήμειβε τὸ Πάγγαιον ὄρος τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν, πόλεις Ἑλληνίδας ἐπὶ θαλάσσῃ ᾠκισμένας. Ἔνθεν δ' ἐπὶ τὸν Ἕβρον ποταμὸν ἀφικόμενος διαβαίνει καὶ τὸν Ἕβρον εὐπετῶς. Ἐκεῖθεν δὲ διὰ τῆς Παιτικῆς ἐπὶ τὸν Μέλανα ποταμὸν ἔρχεται.
5 Διαβὰς δὲ καὶ τὸν Μέλανα ἐς Σηστὸν ἀφικνεῖται ἐν εἴκοσι ταῖς πάσαις ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως. Ἐλθὼν δ' ἐς Ἐλαιοῦντα θύει Πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ τοῦ Πρωτεσιλάου, ὅτι καὶ Πρωτεσίλαος πρῶτος ἐδόκει ἐκβῆναι ἐς τὴν Ἀσίαν τῶν Ἑλλήνων τῶν ἅμα Ἀγαμέμνονι ἐς Ἴλιον στρατευσάντων. Καὶ ὁ νοῦς τῆς θυσίας ἦν ἐπιτυχεστέραν οἱ γενέσθαι ἢ Πρωτεσιλάῳ τὴν ἀπόβασιν.

6 Παρμενίων μὲν δὴ τῶν τε πεζῶν τοὺς πολλοὺς καὶ τὴν ἵππον διαβιβάσαι ἐτάχθη ἐκ Σηστοῦ ἐς Ἄβυδον· καὶ διέβησαν τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολλοῖς στρογγύλοις. Ἀλέξανδρον δ' ἐξ Ἐλαιοῦντος ἐς τὸν Ἀχαιῶν λιμένα κατᾶραι ὁ πλείων λόγος κατέχει, καὶ αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν καὶ ἐπειδὴ κατὰ μέσον τὸν πόρον τοῦ Ἑλλησπόν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

του ἐγένετο, σφάξαντα ταῦρον τῷ Ποσειδῶνι καὶ Νηρηίσι σπένδειν
ἐκ χρυσῆς φιάλης ἐς τὸν πόντον.

Λέγουσι δὲ καὶ πρῶτον ἐκ τῆς νεὼς ξὺν τοῖς ὅπλοις ἐκβῆναι 7
αὐτὸν ἐς τὴν γῆν τὴν Ἀσίαν καὶ βωμοὺς ἱδρύσασθαι, ὅθεν τ' ἐστάλη
ἐκ τῆς Εὐρώπης καὶ ὅπου ἐξέβη τῆς Ἀσίας, Διὸς ἀποβατηρίου καὶ
Ἀθηνᾶς καὶ Ἡρακλέους. Ἀνελθόντα δ' ἐς Ἴλιον τῇ τε Ἀθηνᾷ θῦ-
σαι τῇ Ἰλιάδι καὶ τὴν πανοπλίαν τὴν αὐτοῦ ἀναθεῖναι ἐς τὸν νεὼν
καὶ καθελεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ Τρωικοῦ
ἔργου σῳζόμενα. Καὶ ταῦτα λέγουσιν ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ
αὐτοῦ ἐς τὰς μάχας. Θῦσαι δ' αὐτὸν καὶ Πριάμῳ ἐπὶ τοῦ βωμοῦ
τοῦ Διὸς τοῦ Ἑρκείου λόγος κατέχει, μῆνιν Πριάμου παραιτούμε-
νον τῷ Νεοπτολέμου γένει, ὃ δὴ ἐς αὐτὸν καθῆκεν.

XII. Ἀνιόντα δ' αὐτὸν ἐς Ἴλιον Μενοίτιός τε ὁ κυβερνήτης
χρυσῷ στεφάνῳ ἐστεφάνωσε καὶ ἐπὶ τούτῳ Χάρης ὁ Ἀθηναῖος ἐκ
Σιγείου ἐλθὼν καί τινες καὶ ἄλλοι, οἱ μὲν Ἕλληνες, οἱ δὲ ἐπιχώ-
ριοι· ὁ δὲ καὶ αὐτὸς τὸν Ἀχιλλέως ἄρα τάφον ἐστεφάνωσεν. Ἡφαι-
στίωνα δὲ λέγουσιν ὅτι τοῦ Πατρόκλου τὸν τάφον ἐστεφάνωσε· καὶ
εὐδαιμόνισεν ἄρα, ὡς λόγος, Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου
κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχεν...

Ἐξ Ἰλίου δ' ἐς Ἀρίσβην ἧκεν, οὗ πᾶσα ἡ δύναμις αὐτῷ διαβε- 6
βηκυῖα τὸν Ἑλλήσποντον ἐστρατοπεδεύκει, καὶ τῇ ὑστεραίᾳ ἐς Περ-
κώτην· τῇ δ' ἄλλῃ Λάμψακον παραμείψας πρὸς τῷ Πρακτίῳ ποτα-
μῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν ὀρῶν τῶν Ἰδαίων ἐκδιδοῖ ἐς
θάλασσαν τὴν μεταξὺ τοῦ Ἑλλησπόντου τε καὶ τοῦ Εὐξείνου πόν-
του. Ἔνθεν δ' ἐς Ἕρμωτον ἀφίκετο, Κολωνὰς πόλιν παραμείψας. 7
Σκοποὶ δ' αὐτῷ ἐπέμποντο πρὸ τοῦ στρατεύματος· καὶ τούτων ἡγε-
μὼν ἦν Ἀμύντας ὁ Ἀρραβαίου, ἔχων τῶν τε ἑταίρων τὴν ἴλην τὴν
ἐξ Ἀπολλωνίας, ἧς ἰλάρχης ἦν Σωκράτης ὁ Σάθωνος, καὶ τῶν
προδρόμων καλουμένων ἴλας τέσσαρας. Κατὰ δὲ τὴν πάροδον
Πρίαπον πόλιν ἐνδοθεῖσαν πρὸς τῶν ἐνοικούντων τοὺς παραληψο-
μένους ἀπέστειλε σὺν Πανηγόρῳ τῷ Λυκαγόρου, ἑνὶ τῶν ἑταίρων.

Περσῶν δὲ στρατηγοὶ ἦσαν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ 8

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πετίνης καὶ Νιφάτης καὶ ξὺν τούτοις Σπιθριδάτης, ὁ Λυδίας καὶ
᾿Ιωνίας σατράπης, καὶ ᾿Αρσίτης, ὁ τῆς πρὸς ῾Ελλησπόντῳ Φρυγίας
ὕπαρχος. Οὗτοι δὲ πρὸς Ζελείᾳ πόλει κατεστρατοπεδευκότες ἦσαν
ξὺν τῇ ἵππῳ τε τῇ βαρβαρικῇ καὶ τοῖς Ἕλλησι τοῖς μισθοφόροις.
9 Βουλευομένοις δ᾿ αὐτοῖς ὑπὲρ τῶν παρόντων, ἐπειδὴ ᾿Αλέξαν-
δρος διαβεβηκὼς ἠγγέλλετο, Μέμνων ὁ ῾Ρόδιος παρῄνει μὴ διὰ
κινδύνου ἰέναι πρὸς τοὺς Μακεδόνας τῷ τε πεζῷ πολὺ περιόντας
σφῶν καὶ αὐτοῦ ᾿Αλεξάνδρου παρόντος, αὐτοῖς δ᾿ ἀπόντος Δαρείου·
προϊόντας δὲ τόν τε χιλὸν ἀφανίζειν καταπατοῦντας τῇ ἵππῳ καὶ τὸν
ἐν τῇ γῇ καρπὸν ἐμπιπράναι, μηδὲ τῶν πόλεων αὐτῶν φειδομένους.
Οὐ γὰρ μενεῖν ἐν τῇ χώρᾳ ᾿Αλέξανδρον ἀπορίᾳ τῶν ἐπιτηδείων.
10 ᾿Αρσίτην δὲ λέγεται εἰπεῖν ἐν τῷ συλλόγῳ τῶν Περσῶν, ὅτι οὐκ ἂν
περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν τῶν ὑφ᾿ οἷ τεταγμένων ἀνθρώ-
πων· καὶ τοὺς Πέρσας ᾿Αρσίτῃ προσθέσθαι, ὅτι καὶ ὕποπτόν τι αὐ-
τοῖς ἦν ἐς τὸν Μέμνονα τριβὰς ἐμποιεῖν ἑκόντα τῷ πολέμῳ τῆς ἐκ
βασιλέως τιμῆς οὕνεκα.

῾Η πρώτη μάχη κοντὰ στὸ Γρανικὸ ποταμὸ (334 π.Χ.)

(Κεφ. 13–16)

α) ῾Η προετοιμασία γιὰ τὴ μάχη

(Κεφ. 13–14)

XIII. ᾿Εν τούτῳ δ᾿ ᾿Αλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν
ποταμὸν ξυντεταγμένῳ τῷ στρατῷ διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁ-
πλιτῶν τάξας, τοὺς δ᾿ ἱππέας κατὰ τὰ κέρατα ἀγαγών, τὰ σκευοφό-
ρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι· τοὺς δὲ προκατασκεψομένους τὰ
τῶν πολεμίων ἦγεν αὐτῷ ῾Ηγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρι-
2 σοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. Καὶ ᾿Αλέξανδρος τ᾿ οὐ
πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ Γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν
σπουδῇ ἐλαύνοντες ἀπήγγελλον ἐπὶ τῷ Γρανικῷ πέραν τοὺς Πέρ-
σας ἐφεστάναι τεταγμένους ὡς ἐς μάχην. Ἔνθα δὴ ᾿Αλέξανδρος μὲν
τὴν στρατιὰν πᾶσαν ξυνέταττεν ὡς μαχουμένους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Παρμενίων δὲ προσελθὼν λέγει Ἀλεξάνδρῳ τάδε· «Ἐμοὶ 3
δοκεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρατοπεδεῦσαι ἐπὶ
τοῦ ποταμοῦ τῇ ὄχθῃ ὡς ἔχομεν. Τοὺς γὰρ πολεμίους οὐ δοκῶ
τολμήσειν πολὺ τῷ πεζῷ λειπομένους πλησίον ἡμῶν αὐλισθῆναι,
καὶ ταύτῃ παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον·
ὑποφθάσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστα-
σθαι. Νῦν δ' οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, 4
ὅτι οὐχ οἷόν τ' ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν.
Πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα, αἱ δ' ὄχθαι αὗται ὁρᾷς ὅτι ὑ-
περύψηλοι καὶ κρημνώδεις εἰσὶν αἳ αὐτῶν· ἀτάκτως τ' οὖν καὶ κατὰ 5
κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα
ξυντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς· καὶ τὸ πρῶτον σφάλμα ἔς τε
τὰ παρόντα χαλεπὸν καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν
σφαλερόν».

Ἀλέξανδρος δέ, «ταῦτα μέν», ἔφη, «ὦ Παρμενίων, γιγνώσκω· 6
αἰσχύνομαι δέ, εἰ τὸν μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δέ,
σμικρὸν ῥεῦμα, — οὕτω τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας, —
εἴρξει ἡμᾶς τοῦ μὴ οὐ διαβῆναι, ὡς ἔχομεν. Καὶ τοῦτο οὔτε πρὸς 7
Μακεδόνων τῆς δόξης οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτη-
τος ποιοῦμαι· ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας ὡς ἀξιομάχους
Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα
ἔπαθον».

XIV. Ταῦτα εἰπὼν Παρμενίωνα μὲν ἐπὶ τὸ εὐώνυμον κέρας
πέμπει ἡγησόμενον, αὐτὸς δ' ἐπὶ τὸ δεξιὸν παρῆγε. Προετάχθησαν
δ' αὐτῷ τοῦ μὲν δεξιοῦ Φιλώτας ὁ Παρμενίωνος, ἔχων τοὺς ἑταί-
ρους τοὺς ἱππέας καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας τοὺς ἀκοντι-
στάς. Ἀμύντας δὲ ὁ Ἀρραβαίου τούς τε σαρισοφόρους ἱππέας ἔχων
Φιλώτᾳ ἐπετάχθη καὶ τοὺς Παίονας καὶ τὴν ἴλην τὴν Σωκράτους. 2
Ἐχόμενοι δὲ τούτων ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡ-
γεῖτο Νικάνωρ ὁ Παρμενίωνος· ἐπὶ δὲ τούτοις ἡ Περδίκκου τοῦ
Ὀρόντου φάλαγξ· ἐπὶ δὲ ἡ Κοίνου τοῦ Πολεμοκράτους· ἐπὶ δὲ ἡ
Κρατέρου τοῦ Ἀλεξάνδρου· ἐπὶ δὲ ἡ Ἀμύντου τοῦ Ἀνδρομένους·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 ἐπὶ δὲ ὧν Φίλιππος ὁ Ἀμύντου ἦρχε. Τοῦ δ' εὐωνύμου πρῶτοι μὲν
οἱ Θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο Κάλας ὁ Ἁρπάλου· ἐπὶ
δὲ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε Φίλιππος ὁ Μενελάου· ἐπὶ
δὲ τούτοις οἱ Θρᾷκες, ὧν ἦρχεν Ἀγάθων· ἐχόμενοι δὲ τούτων πε-
ζοὶ ἥ τε Κρατέρου φάλαγξ καὶ ἡ Μελεάγρου καὶ ἡ Φιλίππου ἔστ' ἐ-
πὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως.

4 Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μι-
σθοφόροι ὀλίγον ἀποδέοντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵπ-
πον παρατείναντες τῷ ποταμῷ κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μα-
κράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ
ὑπὲρ τὴν ὄχθην χωρία. Ἧι δ' Ἀλέξανδρον αὐτὸν καθεώρων — δῆ-
λος γὰρ ἦν τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῶν ἀμφ' αὐτὸν τῇ ξὺν
ἐκπλήξει θεραπείᾳ — κατὰ τὸ εὐώνυμον σφῶν ἐπέχοντα, ταύτῃ πυ-
κνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων.

5 Χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ' ἄκρου τοῦ
ποταμοῦ ἐφεστῶτες ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν ἡσυχίαν ἦγον, καὶ σι-
γὴ ἦν πολλὴ ἀφ' ἑκατέρων. Οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακε-
δόνας, ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνου-
6 σιν· Ἀλέξανδρος δ' ἀναπηδήσας ἐπὶ τὸν ἵππον καὶ τοῖς ἀμφ' αὐτὸν
ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίγνεσθαι, τοὺς μὲν
προδρόμους ἱππέας καὶ μὴν καὶ τοὺς Παίονας προεμβαλεῖν ἐς τὸν
ποταμὸν ἔχοντα Ἀμύνταν τὸν Ἀρραβαίου ἔταξε καὶ τῶν πεζῶν
μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτολεμαῖον τὸν
Φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ
7 παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ· αὐτὸς δ' ἄγων τὸ δεξιὸν κέρας ὑπὸ
σαλπίγγων τε καὶ τῷ Ἐνυαλίῳ ἀλαλάζοντας ἐμβαίνει ἐς τὸν πόρον,
λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκ-
βαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπίπτοιεν, ἀλλὰ καὶ αὐτὸς
ὡς ἀνυστὸν τῇ φάλαγγι προσμείξῃ αὐτοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

β) Ἡ μάχη

(Κεφ. 15)

XV. Οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον, οἱ μὲν αὐτῶν ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες, οἱ δὲ κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔστ' ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. Καὶ 2
ἦν τῶν τε ἱππέων ὠθισμός, τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν, καὶ παλτῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακεδόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. Ἀλλὰ τῷ τε πλήθει πολὺ ἐλαττούμενοι οἱ Μακεδόνες ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ καὶ αὐτοὶ ἐξ οὐ βεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι, οἱ δὲ Πέρσαι ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτιστον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπετέτακτο, οἵ τε Μέμνονος παῖδες καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευε.

Καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμμείξαντες τοῖς Πέρσαις 3
κατεκόπησαν πρὸς αὐτῶν, ἄνδρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέρας τὸ δεξιόν, καὶ ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγμένοι ἦσαν· καὶ περὶ αὐτὸν ξυνειστήκει μά- 4
χη καρτερά· καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μακεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. Καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει· ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις καὶ ἄνδρες ἀνδράσιν ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι ἐς ἅπαν ἀπὸ τῆς ὄχθης καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακεδόνες, οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν, οἱ Πέρσαι, καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. Καὶ ἐκ τούτου ἐπλεονέκτουν ἤδη οἱ ξὺν Ἀλεξάνδρῳ τῇ 5
τ' ἄλλῃ ῥώμῃ καὶ ἐμπειρίᾳ καὶ ὅτι ξυστοῖς κρανείνοις πρὸς παλτὰ ἐμάχοντο.

Ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μάχῃ· ὁ δ' 6
Ἀρέτην ᾔτει δόρυ ἕτερον, ἀναβολέα τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ πονουμένῳ ξυντετριμμένον τὸ δόρυ ἦν, ὁ δὲ τῷ ἡμίσει κεκλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο, καὶ τοῦτο δείξας Ἀλεξάνδρῳ ἄλλον αἰτεῖν ἐκέλευσεν· Δημάρατος δέ, ἀνὴρ Κορίνθιος, τῶν ἀμφ᾽ αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ δόρυ.

7 Καὶ ὃς ἀναλαβὼν καὶ ἰδὼν Μιθριδάτην, τὸν Δαρείου γαμβρόν, πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα καὶ ἐπάγοντα ἅμα οἷ ὥσπερ ἔμβολον τῶν ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων, καὶ παίσας
8 ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν Μιθριδάτην. Ἐν δὲ τούτῳ Ῥοισάκης μὲν ἐπελαύνει τῷ Ἀλεξάνδρῳ καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι· καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πληγὴν δ᾽ ἔσχε τὸ κράνος. Καὶ καταβάλλει καὶ τοῦτον Ἀλέξανδρος παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον. Σπιθριδάτης δ᾽ ἀνετέτατο μὲν ἤδη ἐπ᾽ Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δ᾽ αὐτὸν Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου καὶ ἀποκόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν ποταμὸν προσεγίγνοντο τοῖς ἀμφ᾽ Ἀλέξανδρον.

γ) Ἀποτέλεσμα τῆς μάχης
Ἀπώλειες Περσῶν καί Μακεδόνων. Μετά τή μάχη
(Κεφ. 16)

XVI. Καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ ἵπποι τοῖς ξυστοῖς καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμειγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι ἐγκλίνουσι ταύτῃ πρῶτον, ᾗ Ἀλέξανδρος προεκινδύνευεν. Ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυτο δὴ
2 καὶ τὰ ἐφ᾽ ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. Τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον ἐς χιλίους. Οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος, ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου ἢ λογισμῷ βεβαίῳ ἔμενε· καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν καὶ τοὺς ἱππέας πάντῃ προσπεσεῖν κελεύσας, ἐν μέσῳ δι᾽

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀλίγου κατακόπτει αὐτούς, ὥστε διέφυγε μὲν οὐδείς, ὅτι μὴ διέλαθέ
τις ἐν τοῖς νεκροῖς, ἐζωγρήθησαν δ' ἀμφὶ τοὺς δισχιλίους. Ἔπεσον 3
δὲ καὶ ἡγεμόνες τινὲς τῶν Περσῶν Νιφάτης τε καὶ Πετίνης καὶ
Σπιθριδάτης ὁ Λυδίας σατράπης, καὶ ὁ τῶν Καππαδοκῶν ὕπαρχος
Μιθροβουζάνης καὶ Μιθριδάτης ὁ Δαρείου γαμβρὸς καὶ Ἀρβουπά-
λης, ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς, καὶ Φαρνάκης, ἀδελφὸς οὗτος
τῆς Δαρείου γυναικός, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης
δ' ἐκ μὲν τῆς μάχης φεύγει ἐς Φρυγίαν, ἐκεῖ δ' ἀποθνήσκει αὐτὸς
πρὸς αὑτοῦ, ὡς λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ
τότε πταίσματος.

Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ἐν 4
τῇ πρώτῃ προσβολῇ ἀπέθανον· καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑ-
στᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ
Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει. Τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ
τοὺς ἑξήκοντα, πεζοὶ δ' ἐς τοὺς τριάκοντα. Καὶ τούτους τῇ ὑστεραίᾳ 5
ἔθαψεν Ἀλέξανδρος ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δ'
αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε καὶ ὅσαι
ἄλλαι ἢ τῷ σώματι λειτουργίαι ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφο-
ραί. Καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθὼν τ'
αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν καὶ ὅπως τις ἐτρώθη ἐρόμε-
νος καὶ ὅ,τι πράττων εἰπεῖν τε καὶ ἀλαζονεύσασθαί οἱ παρασχών.

Ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν· ἔθαψε δὲ καὶ 6
τοὺς μισθοφόρους Ἕλληνας, οἳ ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀ-
πέθανον· ὅσους δ' αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δήσας ἐν πέ-
δαις ἐς Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δό-
ξαντα τοῖς Ἕλλησιν Ἕλληνες ὄντες ἐναντία τῇ Ἑλλάδι ὑπὲρ τῶν
βαρβάρων ἐμάχοντο. Ἀποπέμπει δὲ καὶ ἐς Ἀθήνας τριακοσίας πα- 7
νοπλίας Περσικὰς ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν πόλει· καὶ ἐπίγραμ-
μα ἐπιγραφῆναι ἐκέλευσε τόδε· « Ἀλέξανδρος Φιλίπ-
που καὶ οἱ Ἕλληνες πλὴν Λακεδαιμονίων
ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοι-
κούντων ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

[Ἡ πρώτη μεγάλη νίκη στό Γρανικό ποταμό ἔκανε τόν Ἀλέξανδρο κυρίαρχο ὅλης τῆς Μ. Ἀσίας. Τό Δασκύλειο, ἕδρα τοῦ σατράπη τῆς Φρυγίας, οἱ Σάρδεις, ἡ μεγάλη πρωτεύουσα τῆς Λυδίας, ἡ Ἔφεσος, ἡ Μαγνησία, οἱ Τράλλεις καί ἄλλες πόλεις τῆς Ἰωνίας καί τῆς Αἰολίδας τοῦ παραδόθηκαν πρόθυμα.

Ἀφοῦ κατάλυσε τά ὀλιγαρχικά πολιτεύματα, πού εἶχαν ἐπιβληθεῖ μέ τή βία, καί ἀποκατάστησε σ' αὐτές τίς πόλεις τή δημοκρατία, συνεχίζει τήν πορεία του. Κυριεύει μέ πολιορκία τή Μίλητο καί τήν Ἁλικαρνασσό, πού ἦταν οἱ μόνες πού τοῦ εἶχαν ἀντισταθεῖ, καί προχωρεῖ. Διασχίζει τή Λυκία, τήν Παμφυλία, τήν Πισιδία, μπαίνει στή Φρυγία καί φτάνει στό Γόρδιο].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΔΕΥΤΕΡΟ

Ὁ Ἀλέξανδρος λύνει στό Γόρδιο τό δεσμό (Κεφ. 3)

III. Ἀλέξανδρος δὲ ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει
αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, ἵνα καὶ τὰ βασίλεια ἦν τὰ Γορδίου
καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου, τὴν ἅμαξαν ἰδεῖν τὴν Γορδίου καὶ τοῦ 2
ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν.

Λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης παρὰ τοῖς προσχώροις πολὺς
κατεῖχε Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα, καὶ ὀλίγην
εἶναι αὐτῷ γῆν ἐργάζεσθαι καὶ ζεύγη βοῶν δύο· καὶ τῷ μὲν ἀρο-
τριᾶν, τῷ δὲ ἁμαξεύειν τὸν Γόρδιον. Καί ποτε ἀροῦντος αὐτοῦ ἐπι- 3
στῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν καὶ ἐπιμεῖναι ἔστε ἐπὶ βουλυτὸν καθήμε-
νον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει ἰέναι κοινώσοντα ὑπὲρ τοῦ θείου πα-
ρὰ τοὺς Τελμισσέας τοὺς μάντεις· εἶναι γὰρ τοὺς Τελμισσέας σο-
φοὺς τὰ θεῖα ἐξηγεῖσθαι καί σφισιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ
γυναιξὶ καὶ παισὶ τὴν μαντείαν. Προσάγοντα δὲ κώμῃ τινὶ τῶν Τελ- 4
μισσέων ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ καὶ πρὸς ταύτην εἰπεῖν, ὅ-
πως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε· τὴν δέ, εἶναι γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ
γένους, θύειν κελεῦσαι τῷ Διὶ τῷ βασιλεῖ ἐπανελθόντα ἐς τὸν αὐτὸν
τόπον. Καί, δεηθῆναι γὰρ αὐτῆς Γόρδιον τὴν θυσίαν ξυνεπισπομέ-
νην οἱ αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε, ὅπως ἐκείνη ὑπετίθετο, τὸν
Γόρδιον καὶ ξυγγενέσθαι ἐπὶ γάμῳ τῇ παιδὶ καὶ γενέσθαι αὐτοῖν
παῖδα Μίδαν ὄνομα. Ἤδη τ' ἄνδρα εἶναι τὸν Μίδαν καλὸν καὶ γεν- 5
ναῖον, καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν σφίσι τοὺς Φρύγας, καὶ γε-
νέσθαι αὐτοῖς χρησμόν, ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα, καὶ ὅτι οὗ-
τος αὐτοῖς καταπαύσει τὴν στάσιν. Ἔτι δὲ περὶ αὐτῶν τούτων βου-
λευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ ἐπι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6 στῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ. Τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον τοῦτον ἐκεῖνον γνῶναι ὄντα, ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν, ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν, Μίδαν δ' αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήριον τῷ Διὶ τῷ βασιλεῖ ἐπὶ τοῦ ἀετοῦ τῇ πομπῇ. Πρὸς δὲ δὴ τούτοις καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο, ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. Ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανείας, καὶ τούτου οὔτε τέλος οὔτ' ἀρχὴ ἐφαίνετο.

7 Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε, μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν, ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη· Ἀριστόβουλος δὲ λέγει ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπάξ, ξυνέχων τὸν δεσμόν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν.

8 Ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δεσμῷ τούτῳ Ἀλεξάνδρῳ, οὐκ ἔχω ἰσχυρίσασθαι. Ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος. Καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν· καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

[Ἀπό τό Γόρδιο τῆς Φρυγίας ὁ Ἀλέξανδρος προχωρεῖ καί κυριεύει τήν Ἄγκυρα, ἀπ' ὅπου ξεκινοῦσαν μεγάλοι ἐμπορικοί δρόμοι. Μετά κατευθύνεται πρός τό νότο. Προχωρεῖ ὁρμητικά πρός τήν Καππαδοκία, περνᾶ τόν Ἅλυ ποταμό καί κυριεύει τή χώρα, χωρίς κανένας νά τοῦ ἀντισταθεῖ. Περνᾶ τά στενά τῆς Κιλικίας καί φτάνει στήν πρωτεύουσά της, τήν Ταρσό, πού τή διασχίζει ὁ Κύδνος ποταμός.]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Ἀλέξανδρος καί ὁ γιατρός του
(Κεφ. 4)

IV... Ἀλέξανδρος δέ, ὡς μὲν Ἀριστοβούλῳ λέλεκται, ὑπὸ 7
καμάτου ἐνόσησεν· οἱ δὲ ἐς τὸν Κύδνον ποταμὸν λέγουσι ῥίψαντα
νήξασθαι, ἐπιθυμήσαντα τοῦ ὕδατος, ἱδροῦντα καὶ καύματι ἐχόμε-
νον. Ὁ δὲ Κύδνος ῥεῖ διὰ μέσου τῆς πόλεως· οἷα δὲ ἐκ Ταύρου ὄ-
ρους τῶν πηγῶν οἱ ἀνισχουσῶν καὶ διὰ χώρου καθαροῦ ῥέων, ψυ-
χρός τέ ἐστι καὶ τὸ ὕδωρ καθαρός· σπασμῷ τε οὖν ἔχεσθαι Ἀλέξαν- 8
δρον καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ ξυνεχεῖ. Καὶ τοὺς μὲν ἄλ-
λους ἰατροὺς οὐκ οἴεσθαι εἶναι βιώσιμον. Φίλιππον δὲ Ἀκαρνᾶνα,
ἰατρόν, ξυνόντα Ἀλεξάνδρῳ καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα
πιστευόμενον καὶ τὰ ἄλλα οὐκ ἀδόκιμον ἐν τῷ στρατῷ ὄντα, καθῆ-
ραι ἐθέλειν Ἀλέξανδρον φαρμάκῳ· καὶ τὸν κελεύειν καθῆραι.
Τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν τούτῳ δὲ Ἀλεξάν- 9
δρῳ δοθῆναι ἐπιστολὴν παρὰ Παρμενίωνος φυλάξασθαι Φίλιππον·
ἀκούειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀ-
ποκτεῖναι Ἀλέξανδρον. Τὸν δέ, ἀναγνόντα τὴν ἐπιστολὴν καὶ ἔτι
μετὰ χεῖρας ἔχοντα, αὐτὸν μὲν λαβεῖν τὴν κύλικα, ἐν ᾗ ἦν τὸ φάρ-
μακον· τὴν ἐπιστολὴν δὲ τῷ Φιλίππῳ δοῦναι ἀναγνῶναι. Καὶ ὁμοῦ 10
τόν τε Ἀλέξανδρον πίνειν καὶ τὸν Φίλιππον ἀναγιγνώσκειν τὰ παρὰ
τοῦ Παρμενίωνος. Φίλιππον δὲ εὐθὺς ἔνδηλον γενέσθαι, ὅτι καλῶς
οἱ ἔχει τὰ τοῦ φαρμάκου· οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπιστολήν,
ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι Ἀλέξανδρον καὶ ἐς τὰ ἄλλα οἱ
πείθεσθαι, ὅσα ἐπαγγέλλοιτο· σωθήσεσθαι γὰρ πειθόμενον. Καὶ τὸν 11
μὲν καθαρθῆναί τε καὶ ῥᾷσαι αὐτῷ τὸ νόσημα· Φιλίππῳ δὲ ἐπιδεῖ-
ξαι, ὅτι πιστὸς ἐστιν αὐτῷ φίλος, καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐ-
τόν, ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος ἐς τὸ ἀνύποπτον τυγχάνει ὢν
καὶ πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος.

[Ἀφοῦ ἔγινε καλά ὁ Ἀλέξανδρος, κατευθύνεται ἀκόμη πιό νότια. Κυριεύει τήν Ἀγχίαλο καί ὑποτάσσει τίς ὀρεινές φυλές τῆς Κιλικίας, γιά

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νά ἔχει τά νῶτα του ἐντελῶς ἐξασφαλισμένα. Ἔπειτα ἐπιστρέφει στήν Ταρσό, ἀπ' ὅπου στέλνει τό ἱππικό του μέ τό Φιλώτα στόν ποταμό Πύραμο, ἐνῶ ὁ ἴδιος ἔρχεται μέ τόν ὑπόλοιπο στρατό του στήν πόλη Μαλλό τῆς Κιλικίας. Ἐκεῖ μαθαίνει ὅτι ὁ Δαρεῖος μέ πολυάριθμο στράτευμα ἔχει στρατοπεδεύσει στούς Σώχους, πόλη τῆς Ἀσσυρίας, πού ἀπεῖχε δυό μέρες δρόμο ἀπό τά στενά περάσματα, πού σχημάτιζε τό βουνό Ἀμανός, καί ἦταν χτισμένη σέ μιά πεδιάδα πολύ ἀνοιχτή, κατάλληλη γιά νά κινεῖται ἐλεύθερα ὁ πολυάριθμος περσικός στρατός.

Ὁ Ἀλέξανδρος περνᾶ τά στενά καί προχωρεῖ πρός τήν Ἰσσό. Ἀφήνει ἐκεῖ τούς ἄρρωστους στρατιῶτες του καί ἀπό τόν παραλιακό δρόμο φτάνει στήν πόλη τῆς Συρίας Μυρίανδρο, ἀπ' ὅπου σκόπευε τήν ἄλλη μέρα νά εἰσβάλει στήν Ἀσσυρία, γιά νά ἀντιμετωπίσει τόν περσικό στρατό. Ἀλλά δυνατή καταιγίδα καί ὁρμητική θύελλα τόν ἀνάγκασαν νά μείνει ἐκεῖ. Στό μεταξύ ὁ Δαρεῖος, νομίζοντας ὅτι ὁ Ἀλέξανδρος ἀργοπορούσε, ἐπειδή φοβόταν νά τόν ἀντιμετωπίσει (σκέψη, πού τήν ἐνίσχυσαν καί διάφοροι κόλακες, πού τόν περιστοίχιζαν), ἀποφασίζει ν' ἀφήσει τούς Σώχους καί, περνώντας τίς πύλες τοῦ Ἀμανοῦ, νά προχωρήσει πρός τήν Ἰσσό. Στήν Ἰσσό ὁ Δαρεῖος βασανίζει καί σκοτώνει τούς ἄρρωστους Μακεδόνες. Ἔπειτα προχωρεῖ πρός τόν ποταμό Πίναρο. Ὁ Ἀλέξανδρος, πού μαθαίνει τίς κινήσεις του, συγκεντρώνει τούς ἀξιωματικούς του, γιά νά τούς ἐμψυχώσει. Ἀναπτύσσει ὅλους τούς λόγους, γιά τούς ὁποίους πρέπει οἱ Ἕλληνες νά εἶναι οἱ νικητές, καί τονίζει τή μεγάλη σημασία πού θά ἔχει ἡ νίκη τους. Θυμίζει ὅλους τούς ἔνδοξους κοινούς ἀγῶνες τους.

Ἔπειτα προχωρεῖ μέ τούς στρατιῶτες του πρός τήν Ἰσσό καί, ὅταν φτάνει σέ χῶρο ἀνοιχτό, ἀναπτύσσει τό στράτευμά του ἔτσι, ὥστε τό ἕνα ἄκρο του νά φτάνει στό βουνό καί τό ἄλλο στή θάλασσα. Ὁ Δαρεῖος πάλι ἐπιχειρεῖ νά παρατάξει μιά ὁλόκληρη στρατιά ἀπό 600.000 ἄνδρες σέ πολύ στενό χῶρο, κι ἔτσι ἕνα μέρος τῆς στρατιᾶς του ἀχρηστεύεται. Ὁ Ἀλέξανδρος τόν πλησιάζει καί δίνει στίς στρατιωτικές του δυνάμεις τή διάταξή τους· μιά τροποποίηση ὅμως πού κάνει ὁ Δαρεῖος στή δική του παράταξη, γιά νά χρησιμοποιήσει καλύτερα τό ἱππικό του, ἀναγκάζει τόν Ἀλέξανδρο νά μετακινήσει καί αὐτός τό ἱππικό τῶν Θεσσαλῶν, ὥστε νά εἶναι ἀπέναντι ἀπό τό ἱππικό τῶν Περσῶν. Κι ἀφοῦ οἱ δυό στρατοί ἔχουν πιά ἑτοιμαστεῖ, οἱ Μακεδόνες προχωροῦν πρῶτοι πρός τό στρατό τοῦ Δαρείου. Ἔφιππος ὁ Ἀλέξανδρος, καθώς ὁ στρατός του πλησιάζει πρός τό ἐχθρικό στρατόπεδο, τρέχει παντοῦ καί ἐνθαρρύνει τούς στρατιῶτες του,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πού ἀνυπόμονα ζητοῦν ν' ἀρχίσει ἡ μάχη. Κι ὅταν πιά βρίσκονται σέ τέτοια ἀπόσταση, ὥστε νά τούς φτάνουν τά περσικά βέλη, ὁ Ἀλέξανδρος ὁρμᾶ πρῶτος πρός τόν ποταμό δίνοντας τό σύνθημα τῆς μάχης.

Πρῶτα τράπηκε σέ φυγή ἡ ἀριστερή πτέρυγα τοῦ στρατοῦ τῶν Περσῶν, πού συγκρούστηκε μέ τή δεξιά πτέρυγα τῶν Μακεδόνων καί τόν Ἀλέξανδρο, ἐνῶ οἱ Ἕλληνες μισθοφόροι τοῦ Δαρείου χτύπησαν τό κέντρο τῆς μακεδονικῆς στρατιᾶς, πού εἶχε διασπαστεῖ. Ἀκριβῶς σ' αὐτό τό σημεῖο ἔγινε μάχη φοβερή, ὅπου ἔπεσαν 120 περίπου Μακεδόνες. Ἀφοῦ ὅμως ἡ δεξιά πτέρυγα τῶν Μακεδόνων ἔτρεψε σέ φυγή τούς Πέρσες, στράφηκε πρός τό κέντρο καί χτύπησε τούς μισθοφόρους. Στό μεταξύ τό θεσσαλικό ἱππικό συγκρούεται μέ τό περσικό καί τό νικᾶ. Τό περσικό ἱππικό τρέπεται σέ ἄτακτη φυγή. Ὅσο γιά τό Δαρεῖο, μέ τήν πρώτη κιόλας ὑποχώρηση τῆς ἀριστερῆς πτέρυγας τοῦ στρατοῦ του, ἔντρομος προσπάθησε φεύγοντας μέ τό ἅρμα του νά σωθεῖ. Ἔπειτα, καθώς συνάντησε κακοτοπιές καί τό ἅρμα δέ μποροῦσε πιά νά προχωρήσει, τό ἄφησε καί συνέχισε μέ ἄλογο τή φυγή. Φεύγοντας ἄφησε στό ἅρμα τήν ἀσπίδα, τό μανδύα καί τό τόξο του, πού τά βρῆκε καί τά πῆρε ὁ Ἀλέξανδρος.

Σ' αὐτή τή μάχη σκοτώθηκαν πολλοί ἡγεμόνες τῶν Περσῶν καί στρατιῶτες. Αἰχμαλωτίστηκαν ἡ μητέρα, ἡ γυναίκα, οἱ δυό κόρες τοῦ Δαρείου καί ὁ πολύ μικρός του γιός].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μετά τή μάχη. Ἡ μεγαλοψυχία τοῦ Ἀλεξάνδρου (Κεφ. 12)

XII. Τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος, ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγὼν ἔθαψε μεγαλοπρεπῶς ξὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον καὶ λόγῳ τ᾽ ἐπεκόσμησεν ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω εἰργασμένον ἢ ἀκοῇ ξυμφωνούμενον ἔμαθε, καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους ξὺν τῇ ἀξίᾳ
2 ἐτίμησε. Καὶ Κιλικίας μὲν ἀποδεικνύει σατράπην Βάλακρον τὸν Νικάνορος, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν, ἀντὶ δὲ τούτου ἐς τοὺς σωματοφύλακας κατέλεξε Μένητα τὸν Διονυσίου· ἀντὶ δὲ Πτολεμαίου τοῦ Σελεύκου τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ Πολυσπέρχοντα τὸν Σιμμίου ἄρχειν ἀπέδειξε τῆς ἐκείνου τάξεως. Καὶ τοῖς Σολεῦσι τά τε πεντήκοντα τάλαντα, ἃ ἔτι ἐνδεᾶ ἦν ἐκ τῶν ἐπιβληθέντων σφίσι χρημάτων, ἀνῆκε καὶ τοὺς ὁμήρους ἀπέδωκεν.

3 Ὁ δ᾽ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς γυναικὸς ἢ τῶν παίδων ἠμέλησεν. Ἀλλά, λέγουσί τινες τῶν τὰ Ἀλεξάνδρου γραφάντων, τῆς νυκτὸς αὐτῆς, ᾗ ἀπὸ τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελθόντα αὐτὸν τὴν Δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀκοῦσαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον
4 οὐ πόρρω τῆς σκηνῆς· πυθέσθαι οὖν, αἵτινες γυναῖκες καὶ ἀνθ᾽ ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσι· καί τινα ἐξαγγεῖλαι, ὅτι «ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς, ὅτι τὸ τόξον τε τοῦ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικόν, καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶτι Δαρείῳ ἀνοιμώζουσι». Ταῦτα ἀκούσαντα Ἀλέξανδρον πέμψαι πρὸς αὐτὰς Λεοννάτον, ἕνα τῶν ἑταίρων, ἐντειλάμενον φράσαι, ὅτι ζῇ Δαρεῖος, τὰ δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι φεύγων ἀπέλιπεν ἐπὶ τῷ ἅρματι καὶ ταῦτα ὅτι μόνα ἔχει Ἀλέξανδρος. Καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν τά τε Δαρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον καὶ καλεῖ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθαι βασιλίσσας, ἐπεὶ οὐδὲ κατ' ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. Ταῦτα μὲν Πτολεμαῖος καὶ Ἀριστόβουλος λέγουσι.

6 Λόγος δ' ἔχει καὶ αὐτὸν Ἀλέξανδρον τῇ ὑστεραίᾳ ἐλθεῖν εἴσω ξὺν Ἡφαιστίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν μητέρα τὴν Δαρείου ἀμφιγνοήσασαν, ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν, ἐστάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ, τὴν δὲ Ἡφαιστίωνι προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων αὐτῇ ἐφάνη ἐκεῖνος. Ὡς δὲ ὁ Ἡφαιστίων τ' ὀπίσω ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτήν, τὸν Ἀλέξανδρον δείξας, ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ὑποχωρεῖν, Ἀλέξανδρον δ' οὐ φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ καὶ ἐκεῖνον εἶναι Ἀλέξανδρον. Καὶ ταῦτα ἐγὼ οὔθ' ὡς ἀληθῆ οὔθ' ὡς πάντη ἄπιστα ἀνέγραψα. Ἀλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τ' ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς ἐς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράφασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον. 7

[Μετά τήν τραγική συμφορά του ὁ Δαρεῖος φεύγει μέσα στή νύχτα μέ τήν ὀλιγάριθμή του ἀκολουθία. Τήν ἄλλη μέρα προχωρεῖ πρός τή Θάψακο καί τόν Εὐφράτη μαζεύοντας στό δρόμο τά διασκορπισμένα λείψανα τοῦ στρατοῦ του.

Ὁ Ἀλέξανδρος ἐξάλλου προχωρεῖ πρός τή Φοινίκη καί πλησιάζει στή μεγάλη καί πλούσια πόλη Μάραθο. Στό δρόμο ὁ γιός τοῦ ἡγεμόνα τῆς χώρας τόν ὑποδέχεται μέ τιμές. Στεφανώνει μέ χρυσό στεφάνι τό νικητή καί τοῦ παραδίνει τήν πόλη].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπιστολές Δαρείου καί Ἀλεξάνδρου
(Κεφ. 14)

XIV. Ἔτι δ᾽ ἐν Μαράθῳ Ἀλεξάνδρου ὄντος ἀφίκοντο παρὰ
Δαρείου πρέσβεις, ἐπιστολήν τε κομίζοντες Δαρείου καὶ αὐτοὶ ἀπὸ
γλώσσης δεησόμενοι ἀφεῖναι Δαρείῳ τὴν μητέρα καὶ τὴν γυναῖκα
2 καὶ τοὺς παῖδας. Ἐδήλου δὲ ἡ ἐπιστολή, ὅτι Φιλίππῳ τε πρὸς Ἀρ-
ταξέρξην φιλία καὶ ξυμμαχία ἐγένετο καί, ἐπειδὴ Ἄρσης ὁ υἱὸς Ἀρ-
ταξέρξου ἐβασίλευσεν, ὅτι Φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα
Ἄρσην ἦρξεν οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. Ἐξ οὗ δὲ αὐτὸς βασι-
λεύει Περσῶν, οὔτε πέμψαι τινὰ Ἀλέξανδρον παρ᾽ αὐτὸν ἐς βε-
βαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ ξυμμαχίας, διαβῆναί τε ξὺν
στρατιᾷ ἐς τὴν Ἀσίαν καὶ πολλὰ κακὰ ἐργάσασθαι Πέρσας. Τούτου
ἕνεκα καταβῆναι αὐτὸς τῇ χώρᾳ ἀμυνῶν καὶ τὴν ἀρχὴν τὴν πα-
τρῴαν ἀνασώσων. Τὴν μὲν δὴ μάχην, ὡς θεῶν τῳ ἔδοξεν, οὕτω
κριθῆναι, αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως γυναῖκά τε τὴν αὐτοῦ
αἰτεῖν καὶ μητέρα καὶ παῖδας τοὺς ἁλόντας, καὶ φιλίαν ἐθέλειν ποιή-
σασθαι πρὸς Ἀλέξανδρον καὶ ξύμμαχος εἶναι τῷ Ἀλεξάνδρῳ· καὶ
ὑπὲρ τούτων πέμπειν ἠξίου Ἀλέξανδρον παρ᾽ αὐτὸν ξὺν Μενίσκῳ
τε καὶ Ἀρσίμᾳ, τοῖς ἀγγέλοις τοῖς ἐκ Περσῶν ἥκουσι, τοὺς τὰ πι-
στὰ ληψομένους τε καὶ ὑπὲρ Ἀλεξάνδρου δώσοντας.

4 Πρὸς ταῦτα ἀντιγράφει Ἀλέξανδρος καὶ ξυμπέμπει τοῖς παρὰ
Δαρείου ἐλθοῦσι Θέρσιππον, παραγγείλας τὴν ἐπιστολὴν δοῦναι
Δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ μηδενός. Ἡ δὲ ἐπιστολὴ ἡ
Ἀλεξάνδρου ἔχει ὧδε· «Οἱ ὑμέτεροι πρόγονοι ἐλθόντες ἐς Μακεδο-
νίαν καὶ ἐς τὴν ἄλλην Ἑλλάδα κακῶς ἐποίησαν ἡμᾶς οὐδὲν προηδι-
κημένοι· ἐγὼ δὲ τῶν Ἑλλήνων ἡγεμὼν κατασταθεὶς καὶ τιμωρήσα-
σθαι βουλόμενος Πέρσας διέβην ἐς τὴν Ἀσίαν ὑπαρξάντων ὑμῶν.
5 Καὶ γὰρ Περινθίοις ἐβοηθήσατε, οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν, καὶ ἐς
Θράκην, ἧς ἡμεῖς ἤρχομεν, δύναμιν ἔπεμψεν Ὦχος. Τοῦ δὲ πατρὸς
ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων, οὓς ὑμεῖς συνετάξατε, ὡς
αὐτοὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομπάσατε, καὶ Ἄρσην ἀ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποκτείναντός σου μετὰ Βαγώου, καὶ τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως οὐδὲ κατὰ τὸν Περσῶν νόμον, ἀλλὰ ἀδικοῦντος Πέρσας, καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς Ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός με πολεμῶσι, καὶ χρήματα ἀποστέλλοντος πρὸς 6
Λακεδαιμονίους καὶ ἄλλους τινὰς τῶν Ἑλλήνων, καὶ τῶν μὲν ἄλλων πόλεων οὐδεμιᾶς δεχομένης, Λακεδαιμονίων δὲ λαβόντων, καὶ τῶν παρὰ σοῦ πεμφθέντων τοὺς ἐμοὺς φίλους διαφθειράντων καὶ τὴν εἰρήνην, ἥν τοῖς Ἕλλησι κατεσκεύασα, διαλύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπὶ σὲ ὑπάρξαντος σοῦ τῆς ἔχθρας.

Ἐπεὶ δὲ μάχῃ νενίκηκα πρότερον μὲν τοὺς σοὺς στρατηγοὺς 7
καὶ σατράπας, νῦν δὲ σὲ καὶ τὴν μετὰ σοῦ δύναμιν, καὶ τὴν χώραν ἔχων τῶν θεῶν μοι δόντων, ὅσοι τῶν μετὰ σοῦ παραταξαμένων μὴ ἐν τῇ μάχῃ ἀπέθανον, ἀλλὰ παρ᾽ ἐμὲ κατέφυγον, τούτων ἐπιμέλομαι καὶ οὐκ ἄκοντες παρ᾽ ἐμοὶ εἰσιν, ἀλλὰ αὐτοὶ ἑκόντες ξυστρατεύονται μετ᾽ ἐμοῦ. Ὡς οὖν ἐμοῦ τῆς Ἀσίας ἁπάσης κυρίου ὄντος 8
ἧκε πρὸς ἐμέ. Εἰ δὲ φοβῇ, μὴ ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φίλων τὰ πιστὰ ληψομένους. Ἐλθὼν δὲ πρός με τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ εἰ ἄλλο τι θέλεις αἴτει καὶ λάμβανε. Ὅ,τι γὰρ ἂν πείθῃς ἐμέ, ἔσται σοι. Καὶ τοῦ λοιποῦ, ὅταν πέμπῃς παρ᾽ ἐμέ, ὡς πρὸς βασιλέα τῆς Ἀσίας πέμπε, μηδὲ ἐξ ἴσου ἐπίστελλε, ἀλλ᾽ ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν φράζε, εἴ του δέῃ· εἰ δὲ μή, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. Εἰ δ᾽ ἀντιλέγεις περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς καὶ μὴ φεῦγε, ὡς ἐγὼ ἐπὶ σὲ πορεύσομαι, οὗ ἂν ᾖς.»

[Ὁλόκληρη ἡ Φοινίκη ὑποτάσσεται, χωρίς νά προβάλει ἀντίσταση στόν Ἀλέξανδρο, πού προχωρεῖ ὁρμητικά. Μόνο ἡ Τύρος ἀρνεῖται νά ὑποταχτεῖ καί ζητᾶ ἀπ' τόν Ἀλέξανδρο νά μήν τῆς ἐπιτεθεῖ, δίνοντας τήν ὑπόσχεση νά κρατήσει στάση οὐδέτερη ἀπέναντι στούς δύο ἀντιπάλους. Ὁ Ἀλέξανδρος τό δέχεται, μέ τόν ὅρο νά τοῦ ἐπιτρέψουν νά μπεῖ μέσα στήν πόλη καί νά θυσιάσει πρός τιμή τοῦ Ἡρακλῆ στόν πανάρχαιο ναό τοῦ ἥρωα, πού βρισκόταν ἐκεῖ. Οἱ Τύριοι ὅμως δέ θέλουν νά ἱκανοποιήσουν αὐτή τήν ἐπιθυμία τοῦ Ἀλεξάνδρου, πού ἀγανακτισμένος ἀποφασί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζει νά κυριεύσει τήν πόλη μέ τή βία. Σέ συγκέντρωση τῶν στρατηγῶν του ἐξηγεῖ γιά ποιούς λόγους ἡ κατάληψη τῆς Τύρου εἶναι ἀπαραίτητη. Οἱ στρατηγοί ἐπιδοκιμάζουν τίς σκέψεις του καί ἀρχίζει ἡ πολιορκία.

Ἡ πόλη ἦταν γερά ὀχυρωμένη καί ἑφτά μῆνες ἀντιστάθηκε μέ πεῖσμα. Ἀλλά ἡ ἐπιμονή τῶν πολιορκητῶν νίκησε. Τά ἀκλόνητα ὥς τότε ὀχυρά της καί τά ἀπόρθητα τείχη της ὑποχώρησαν μπροστά στήν ἐπίμονη ἐπιθετικότητα τοῦ Ἀλεξάνδρου. Οἱ Μακεδόνες μπῆκαν θριαμβευτικά στήν πόλη (Αὔγουστος 332)].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Δαρεῖος ζητᾶ εἰρήνη. Ἡ ἀπάντηση τοῦ Ἀλεξάνδρου (Κεφ. 25)

XXV. Ἔτι δὲ ἐν τῇ πολιορκίᾳ τῆς Τύρου ξυνεχομένου Ἀλεξάνδρου ἀφίκοντο παρὰ Δαρείου πρέσβεις ὡς αὐτὸν ἀπαγγέλλοντες μύρια μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον· τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς Εὐφράτου ποταμοῦ ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικὴν Ἀλεξάνδρου εἶναι· ἀγαγόμενον δὲ γυναῖκα τὴν Δαρείου παῖδα Ἀλέξανδρον φίλον τε εἶναι Δαρείῳ καὶ ξύμμαχον.

Καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων Παρ- 2
μενίωνα μὲν λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι τὸ πρόσω κινδυνεύειν· Ἀλέξανδρον δὲ Παρμενίωνι ἀποκρίνασθαι, ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν, ἐπεὶ δὲ Ἀλέξανδρός ἐστιν, ἀποκρινεῖσθαι Δαρείῳ, ἅπερ δὴ καὶ ἀπεκρίνατο. Ἔφη γὰρ οὔ- 3
τε χρημάτων δεῖσθαι παρὰ Δαρείου οὔτε τῆς χώρας λαβεῖν ἀντὶ τῆς πάσης τὸ μέρος· εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν· ἀγαγέσθαι τε γυναῖκα εἰ ἐθέλοι τὴν Δαρείου παῖδα, ἀγαγέσθαι ἂν καὶ οὐ διδόντος Δαρείου· ἐκέλευέ τε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ᾽ αὐτοῦ.

Ταῦτα ὡς ἤκουσε Δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέγνω τὰς πρὸς Ἀλέξανδρον, ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν.

[Μετά ἀπό τή θριαμβευτική κατάληψη τῆς Τύρου ὁ Ἀλέξανδρος στρέφεται πρός τά νότια, ἀποφασισμένος νά κατακτήσει τήν Αἴγυπτο. Βαδίζει πρῶτα ἐναντίον τῆς Γάζας πού ἦταν μιά μεγάλη πόλη τῆς Παλαιστίνης· μετά ἀπό πολιορκία δυό μηνῶν τήν κυριεύει καί τή χρησιμοποιεῖ σάν ὁρμητήριο (Νοέμβριος 332). Ἀπό τή Γάζα προχωρεῖ πρός τήν Αἴγυπτο, χωρίς κανένας πιά νά τόν ἐμποδίζει].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΤΡΙΤΟ

Ὁ Ἀλέξανδρος στὴν Αἴγυπτο
Ἡ κτίση τῆς Ἀλεξάνδρειας
(Κεφ. 1)

I. Ἀλέξανδρος δ' ἐπ' Αἰγύπτου, ἵναπερ τὸ πρῶτον ὡρμήθη, ἐστέλλετο, καὶ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ τῆς Γάζης ἐλαύνων ἧκεν ἐς Πηλούσιον τῆς Αἰγύπτου. Ὁ δὲ ναυτικὸς στρατὸς παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ' Αἴγυπτον· καὶ καταλαμβάνει τὰς ναῦς ἐν Πηλου-
2 σίῳ ὁρμούσας. Μαζάκης δὲ ὁ Πέρσης, ὃς ἦν σατράπης Αἰγύπτου ἐκ Δαρείου καθεστηκώς, τὴν τ' ἐν Ἰσσῷ μάχην ὅπως ξυνέβη πεπυσμένος καὶ Δαρεῖον ὅτι αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ Φοινίκην τε καὶ Συρίαν καὶ τῆς Ἀραβίας τὰ πολλὰ ὑπ' Ἀλεξάνδρου ἐχόμενα, αὐτῷ τ' οὐκ οὔσης δυνάμεως Περσικῆς, ἐδέχετο ταῖς τε πόλεσι φιλίως καὶ τῇ χώρᾳ Ἀλέξανδρον.

3 Ὁ δ' ἐς μὲν Πηλούσιον φυλακὴν ἐσήγαγε, τοὺς δ' ἐπὶ τῶν νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν κελεύσας ἔστ' ἐπὶ Μέμφιν πόλιν αὐτὸς ἐφ' Ἡλιουπόλεως ᾔει, ἐν δεξιᾷ ἔχων τὸν ποταμὸν τὸν Νεῖλον καὶ ὅσα καθ' ὁδὸν χωρία ἐνδιδόντων τῶν ἐνοικούντων κατασχών,
4 διὰ τῆς ἐρήμου ἀφίκετο ἐς Ἡλιούπολιν. Ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον ἧκεν ἐς Μέμφιν· καὶ θύει ἐκεῖ τοῖς ἄλλοις θεοῖς καὶ τῷ Ἄπιδι καὶ ἀγῶνα ἐποίησε γυμνικόν τε καὶ μουσικόν· ἧκον δ' αὐτῷ οἱ ἀμφὶ ταῦτα τεχνῖται ἐκ τῆς Ἑλλάδος οἱ δοκιμώτατοι. Ἐκ δὲ Μέμφιος κατέπλει κατὰ τὸν ποταμὸν ὡς ἐπὶ θάλασσαν τούς τε ὑπασπιστὰς ἐπὶ τῶν νεῶν λαβὼν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων.

5 Ἐλθὼν δ' ἐς Κάνωβον καὶ κατὰ τὴν λίμνην τὴν Μαρίαν περιπλεύσας ἀποβαίνει, ὅπου νῦν Ἀλεξάνδρεια πόλις ᾤκισται, Ἀλεξάνδρου ἐπώνυμος. Καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι ἐν αὐτῷ πόλιν καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν. Πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκεν, ἵνα τ' ἀγορὰν ἐν αὐτῇ δείμασθαι ἔδει καὶ ἱερὰ ὅσα καὶ θεῶν ὧντινων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν μὲν Ἑλληνικῶν, Ἴσιδος δ' Αἰγυπτίας, καὶ τὸ τεῖχος ᾗ περιβεβλῆσθαι. Καὶ ἐπὶ τούτοις ἐθύετο, καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο.

ΒΙΒΛΙΟ Γ' (ὥς τό τέλος), Δ', Ε', ΣΤ' (ὥς τό Κεφ. 22)

Περίληψη

[Ἔπειτα ὁ Ἀλέξανδρος ἐπισκέπτεται τό ἱερό τοῦ Ἄμμωνα, θεοῦ τῶν Αἰγυπτίων, στήν ἔρημο τῆς Λιβύης. Κι ἀφοῦ τακτοποιεῖ μέ σύνεση τή διοίκηση τῆς Αἰγύπτου, ἐπιστρέφει στή Φοινίκη, ἀπ' ὅπου λίγο ἀργότερα κατευθύνεται πρός τή Θάψακο. Ἀπό κεῖ προχωρεῖ πρός τούς ποταμούς Τίγρητα καί Εὐφράτη καί τούς περνᾶ.

Ἡ προέλασή του συνεχίζεται πρός τό ἐσωτερικό τῆς Ἀσσυρίας, ὥσπου Πέρσες αἰχμάλωτοι τόν πληροφοροῦν πώς ὁ Δαρεῖος βρίσκεται κοντά του μέ πολυάριθμο στρατό. Πραγματικά, ὁ Δαρεῖος εἶχε στρατοπεδεύσει στήν πεδιάδα τῶν Γαυγαμήλων μέ 1.000.000 πεζούς, 40.000 ἱππεῖς καί 200 δρεπανηφόρα ἅρματα. Σ' αὐτό τό πλῆθος ὁ Ἀλέξανδρος εἶχε νά ἀντιτάξει μόνο 40.000 πεζούς καί 7.000 ἱππεῖς. Ὡστόσο δέ δειλιάζει· ἐμψυχώνει τούς ἄνδρες του καί τούς παρατάσσει γιά μάχη. Στή σύγκρουση πού ἀκολουθεῖ, τό ἱππικό τῶν Περσῶν, πού εἶναι πολύ ἰσχυρό, προκαλεῖ σοβαρές ἀπώλειες στό ἱππικό τῶν Μακεδόνων, ἐνῶ τά δρεπανηφόρα ἅρματά τους βάζουν γιά στόχο τους τό σημεῖο, ὅπου ἀγωνίζεται ὁ ἴδιος ὁ Ἀλέξανδρος. Ὅμως ἡ μακεδονική φάλαγγα ὑπερτερεῖ. Ὁρμώντας ἀνάμεσα στίς τάξεις τῶν ἐχθρῶν της προκαλεῖ τόν πανικό. Ὅλες οἱ ἐπιθέσεις τῶν Περσῶν ἐξουδετερώνονται καί ὁ περσικός στρατός τρέπεται σέ ἄτακτη φυγή. Ὁ Παρμενίων κυριεύει τό περσικό στρατόπεδο μέ ὅ,τι εἶχε ἐκεῖ ἀπομείνει, ἐνῶ ὁ Ἀλέξανδρος, κυνηγώντας τό Δαρεῖο φτάνει καί μπαίνει στά Ἄρβηλα· ὅμως ἐκεῖ δέ βρίσκει τίποτε ἄλλο, παρά τά χρήματα καί τίς ἀποσκευές τοῦ Πέρση βασιλιᾶ, τό ἅρμα καί τά ὅπλα του· ὁ ἴδιος ὁ Δαρεῖος εἶχε φύγει μέ κατεύθυνση πρός τή Μηδία, γιά νά γλιτώσει.

Ὁ Ἀλέξανδρος συνεχίζει τότε τήν προέλασή του πρός τή Βαβυλώνα, πού οἱ κάτοικοί της βγαίνουν μέ δῶρα νά τόν ὑποδεχτοῦν. Ἔπειτα κυριεύει τά Σοῦσα. Ἐκεῖ βρίσκει πολλά ἔργα τέχνης ἑλληνικά, πού τά εἶχε πάρει ὁ Ξέρξης, ὅταν ἐστράτευσε στήν Ἑλλάδα. Ὁ Ἀλέξανδρος διατάζει νά ἐπιστραφοῦν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἔπειτα προχωρεῖ καί κυριεύει τήν Περσέπολη καί ἀπό κεῖ κατευθύνεται πρός τή Μηδία, ὅπου εἶχε καταφύγει ὁ Πέρσης βασιλιάς. Φτάνει στά Ἐκβάτανα, περνᾶ τίς Κασπίες πύλες καί τότε μαθαίνει πώς ὁ Δαρεῖος εἶναι αἰχμάλωτος τοῦ Βήσσου, τοῦ σατράπη τῆς Βακτριανῆς. Γιά ἕνα διάστημα σέρνει ὁ Βῆσσος τό Δαρεῖο μαζί του· στό τέλος, καθώς καταλαβαίνει πώς ἔτσι κινδυνεύει κι ὁ ἴδιος ἀπό τήν καταδίωξη τοῦ Ἀλεξάνδρου, πληγώνει θανάσιμα τόν αἰχμάλωτο βασιλιά καί τόν ἐγκαταλείπει. Νεκρό συναντᾶ ἐπιτέλους ὁ Ἀλέξανδρος τό μεγάλο ἀντίπαλό του καί τοῦ προσφέρει τιμές νεκρικές. Συνεχίζοντας ἔπειτα τήν προέλασή του κατακτᾶ διάφορες χῶρες: τή χώρα τῶν Μάρδων, τήν Ὑρκανία, τήν Παρθία, τήν Ἀρεία. Περνᾶ ἀπό τήν Ἀραχωσία καί τόν Ἰνδικό Καύκασο, μπαίνει στή Βακτριανή καί τή Σογδιανή. Ἐκεῖ συλλαμβάνει τό Βῆσσο καί τόν τιμωρεῖ. Ἔπειτα προχωρεῖ πρός τόν Ἰαξάρτη ποταμό, ὅπου χτίζεται ἄλλη μιά πόλη μέ τ' ὄνομά του, ἡ **Ἀλεξάνδρεια ἡ ἐσχάτη.** *Ἀπό κεῖ ἐπιστρέφει στή Σογδιανή καί μετά προχωρεῖ νοτιότερα. Ὅταν φτάνει κοντά στόν Ὑδάσπη ποταμό, ἀντιμετωπίζει τήν ἰσχυρή ἀντίσταση τοῦ Πώρου, βασιλιᾶ ἑνός κράτους, πού ἁπλωνόταν ἀπό τόν Ὑδάσπη ὥς τόν Ὑδραώτη ποταμό. Ὁ Ἀλέξανδρος τόν νικᾶ. Νιώθει ὅμως τόσο θαυμασμό γιά τήν παλικαριά τοῦ Πώρου, πού θέλει νά τόν γνωρίσει. Κι ὅταν τόν ὁδηγοῦν μπροστά του, ζητᾶ νά μάθει πῶς θά ἤθελε νά τοῦ συμπεριφερθεῖ. «Βασιλικά», ἀπαντᾶ ὁ Πῶρος. Καί ὁ Ἀλέξανδρος ἀναγνωρίζει τόν Πῶρο βασιλιά μιᾶς περιοχῆς μεγαλύτερης ἀπό ἐκείνη πού ἐξουσίαζε ὥς τώρα.*

Ἔπειτα ὁ Ἀλέξανδρος πορεύεται ἀνατολικότερα καί φτάνει στόν Ὕφαση ποταμό. Ἀλλά οἱ στρατιῶτες του εἶναι πιά πολύ κουρασμένοι καί ἀρνοῦνται νά προχωρήσουν πιό πέρα. Ἔτσι ὁ Ἀλέξανδρος ἀναγκάζεται νά ἐπιστρέψει στή Νίκαια καί ἀπό κεῖ, μέ καινούριο στόλο, πού ναυπηγήθηκε στήν Ἰνδική, πλέει κατεβαίνοντας τόν Ἰνδό ποταμό. Στό δρόμο του ὑποτάσσει λαούς καί χτίζει πόλεις. Καί καταλήγει στά Πάταλα, ὅπου ὁ στρατός του χωρίζεται. Ὁ Νέαρχος μέ τό στόλο θά προχωρήσει περνώντας ἀπό τόν Ἰνδικό ὠκεανό καί τόν Περσικό Κόλπο πρός τίς ἐκβολές τοῦ Τίγρητα καί τοῦ Εὐφράτη. Ὁ Ἀλέξανδρος μέ τούς στρατιῶτες του θά πάρει τό δρόμο τῆς ἐπιστροφῆς διασχίζοντας τήν ἄνυδρη γῆ τῆς Γαδρωσίας].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΕΚΤΟ

Πορεία μέσα ἀπό τήν ἔρημο τῆς Γαδρωσίας
(Κεφ. 23–26)

XXIII. Ἔνθεν δὲ διὰ τῆς Γαδρωσῶν χώρας ᾔει ὁδὸν χαλεπὴν καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν τ᾽ ἄλλων καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ οὐκ ἦν· ἀλλὰ νύκτωρ ἠναγκάζοντο τὴν πολλὴν πορεύεσθαι καὶ προσωτέρω ἀπὸ θαλάσσης, ἐπεὶ αὐτῷ γ᾽ ἐν σπουδῇ ἦν ἐλθεῖν τὰ παρὰ τὴν θάλασσαν τῆς χώρας καὶ λιμένας τ᾽ ἰδεῖν τοὺς ὄντας καί, ὅσα γ᾽ ἐν παρόδῳ δυνατὰ γένοιτο, τῷ ναυτικῷ παρασκευάσαι, ἢ φρέατα ὀρύξαντας ἢ ἀγορᾶς που ἢ ὅρμου ἐπιμεληθέντας. Ἀλλ᾽ ἦν γὰρ ἔρημα παντάπασιν τὰ πρὸς τῇ θαλάσσῃ τῆς Γαδρωσῶν γῆς, ὁ δὲ 2
Θόαντα τὸν Μανδροδώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀλίγοις ἱππεῦσι, κατασκεψόμενον, εἴ πού τις ὅρμος ὢν τυγχάνει ταύτῃ ἢ ὕδωρ οὐ πόρρω ἀπὸ θαλάσσης ἤ τι ἄλλο τῶν ἐπιτηδείων. Καὶ οὗτος 3
ἐπανελθὼν ἀπήγγειλεν ἁλιέας τινὰς καταλαβεῖν ἐπὶ τοῦ αἰγιαλοῦ ἐν καλύβαις πνιγηραῖς· πεποιῆσθαι δὲ τὰς καλύβας ξυνθέντας τὰς κόγχας· στέγην δ᾽ εἶναι αὐταῖς τὰς ἀκάνθας τῶν ἰχθύων· καὶ τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆσθαι χαλεπῶς διαμωμένους τὸν κάχληκα, καὶ οὐδὲ πάντῃ γλυκεῖ τῷ ὕδατι.

Ὡς δ᾽ ἀφίκετο Ἀλέξανδρος ἐς χῶρόν τινα τῆς Γαδρωσίας, ἵνα 4
ἀφθονώτερος ἦν σῖτος, διανέμει ἐς τὰ ὑποζύγια τὸν καταληφθέντα καὶ τοῦτον σημηνάμενος τῇ ἑαυτοῦ σφραγῖδι κατακομίζεσθαι κελεύει ὡς ἐπὶ θάλασσαν. Ἐν ᾧ δ᾽ ᾔει ὡς ἐπὶ τὸν σταθμόν, ἔνθενπερ ἐγγυτάτω ἦν ἡ θάλασσα, ἐν τούτῳ ὀλίγα φροντίσαντες οἱ στρατιῶται τῆς σφραγῖδος αὐτοί τε οἱ φύλακες τῷ σίτῳ ἐχρήσαντο, καὶ ὅσοι μάλιστα λιμῷ ἐπιέζοντο, καὶ τούτοις μετέδωκαν. Ἐς τοσόνδε γὰρ 5
πρὸς τοῦ κακοῦ ἐνικῶντο, ὡς τὸν πρόδηλον καὶ παρόντα ἤδη ὄλεθρον τοῦ ἀφανοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασιλέως κινδύνου ξὺν λογισμῷ ἔδοξέ σφισιν ἔμπροσθεν ποιήσασθαι. Καὶ Ἀλέξανδρος καταμαθὼν τὴν ἀνάγκην ξηνέγνω τοῖς πράξασιν. Αὐτὸς δέ, ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγαγεῖν ἠδυνήθη ἐς ἐπισιτισμὸν τῇ στρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τιᾷ τῇ περιπλεούσῃ ξὺν τῷ στόλῳ, ταῦτα κομίσοντα πέμπει Κρηθέα τὸν Καλλατιανόν. Καὶ τοῖς ἐγχωρίοις προσετάχθη ἐκ τῶν ἄνω τόπων σῖτόν τε, ὅσον δυνατοὶ ἦσαν, καταχομίσαι ἀλέσαντες καὶ τὰς βαλάνους τὰς τῶν φοινίκων καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ. Καὶ ἐς ἄλλον αὖ τόπον Τήλεφον κατέπεμψε τῶν ἑταίρων ξὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ.

XXIV. Αὐτὸς δὲ προὐχώρει ὡς ἐς τὰ βασίλεια τῶν Γαδρωσῶν, ὁ δὲ χῶρος Ποῦρα ὀνομάζεται, ἵναπερ ἀφίκετο ἐξ Ὤρων ὁρμηθεὶς ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. Καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον οὐδὲ τὰ ξύμπαντα, ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν ἡ στρατιά, ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πόνοις. Οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα ταύτῃ ἐλθεῖν, ἀλλὰ ἀκούσαντα, ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη, ὅτι μὴ Σεμίραμις, ὅτε ἐξ Ἰνδῶν ἔφυγε. Καὶ ταύτην δ' ἔλεγον οἱ ἐπιχώριοι ξὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι, Κῦρον δὲ τὸν Καμβύσου ξὺν ἑπτὰ μόνοις καὶ τοῦτον. Ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν, φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. Καὶ ταῦτα Ἀλεξάνδρῳ ἐξαγγελλόμενα ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. Τούτων τ' οὖν ἕνεκα καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτῃ τραπῆναι Ἀλέξανδρον.

Τὸ τ' οὖν καῦμα ἐπιφλέγον καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι καὶ μάλιστα δὴ τὰ ὑποζύγια· ταῦτα μὲν πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ δὲ καὶ δίψει ἀπόλλυσθαι· καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς ψάμμου βαθείας οὐ νεναγμένης, ἀλλ' οἵας δέχεσθαι καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. Καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιόνους ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ καὶ ἅμα οὐ βεβαίῳ. Τῶν τε σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξυμμέτρους μᾶλλόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. Ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδόν, ἥντινα ἀνύσαι ἐχρῆν, ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντη ἐταλαιπωροῦντο· προχωρούσης δὲ τῆς ἡμέρας ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιποροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρός τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ ξυνεχόμενοι.

XXV. Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλείποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν, καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτατον. Καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν.

Οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς οὐδὲ τοὺς διὰ 2
κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν εὐμαρῶς ἀπορία τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι, καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι. Καὶ οὕτως οἱ μὲν 3
νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῷ δίψει οὐκ ἀντέχοντες, καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ μένοντες θεραπεύσοντες· σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ στόλος, καὶ τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύναμις ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῇ ψάμμῳ ἀπώλλυντο.

Ξυνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα 4
ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. Ὕεται γὰρ ἡ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Γαδρωσίων γῆ ὑπ' ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος καὶ ἀναχέονται, οὐχ ὑπερβάλ-
5 λουσαι τῶν ὀρῶν τὰς κορυφάς. Ὡς δ' ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτός, ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χειμάρρους ὁ ταύτῃ ῥέων ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων τοσούτῳ ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων, ὅσα ἀπελείπετο, αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις καὶ οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι.

6 Οἱ πολλοὶ δὲ καὶ πίνοντες, ὁπότε ἐκ καύματός τε καὶ δίψους ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλλυντο. Καὶ τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλ' ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

XXVI. Ἔνθα δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν ἢ ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. Ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι· τὸ δ' ἦν πρόσθεν τῆς ὁδοῦ· καὶ αὐτόν τ' Ἀλέξανδρον δίψει κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὥστε καὶ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε, κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. Ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτρα-
2 πέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ ξυλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο οὖν χαλεπῶς ξυλλέξαντας σπουδῇ ἰέναι παρ' Ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δ' ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσενεγκεῖν τῷ βασιλεῖ. Τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κο- 3
μίσαντας, λαβόντα δ᾽ ἐν ὄψει πάντων ἐκχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ
ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥστε εἰκάσαι ἄν
τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκ-
χυθέν. Τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον ἐς καρτερίαν τε καὶ ἅμα
στρατηγίαν ἐπαινῶ Ἀλεξάνδρου.

Ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. Οἱ 4
γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν
ὁδόν, ἀλλ᾽ ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς τῆς πρὸς τοῦ ἀνέμου ἐπι-
πνεύσαντος· καὶ οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ τε καὶ ὁμοίᾳ πάν-
τῃ νενημένῃ, ὅτῳ τεκμηριώσονται τὴν ὁδόν, οὔτ᾽ οὖν δένδρα ξυνήθη
παρ᾽ αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα· οὐδὲ
πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ᾽ ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαί
σφισι τὰς πορείας καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων τὴν μὲν
Φοίνιξι, τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις, τὴν μείζονα.
Ἔνθα δὴ Ἀλέξανδρον ξυνέντα, ὅτι ἐν ἀριστερᾷ δεῖ ἀποκλίναντα ἄ- 5
γειν, ἀναλαβόντα ὀλίγους ἅμα οἱ ἱππέας προχωρῆσαι· ὡς δὲ καὶ
τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τού-
των τοὺς πολλούς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι καὶ
εὑρεῖν τὴν θάλασσαν, διαμησάμενόν τ᾽ αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν
κάχληκα ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ καὶ οὕτω μετελθεῖν τὴν
στρατιὰν πᾶσαν· καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑ-
δρευομένους ἐκ τῆς ἠιόνος. Ἔνθεν δέ, ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν
τοὺς ἡγεμόνας, ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

[Ὁ Ἀλέξανδρος ἔπειτα φτάνει στήν Καρμανία μέ πολλές ἀπώλειες. Ἐκεῖ τόν συναντᾶ ὁ Κράτερος πού μέ ἐπιτυχία εἶχε διασχίσει τήν Ἀραχωσία καί τή Δραγγιανή. Ἐπίσης καταφτάνει καί ὁ Νέαρχος μέ τό στόλο στίς ἀκτές τῆς Καρμανίας. Ὁ Ἀλέξανδρος διατάζει τό Νέαρχο νά ἐξακολουθήσει νά πλέει μέ τό στόλο, ἐνῶ τόν Ἡφαιστίωνα μέ τό μεγαλύτερο μέρος τοῦ στρατεύματος τόν στέλνει στήν Περσίδα ἀπό τόν παραθαλάσσιο δρόμο. Ὁ ἴδιος προχωρεῖ πρός τίς Πασαργάδες, ὅπου ἐπισκέπτεται τόν τάφο τοῦ Κύρου τοῦ Μεγάλου].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Ἀλέξανδρος στόν τάφο τοῦ Κύρου τοῦ Μεγάλου (Κεφ. 29)

4 XXIX. Ἐλύπησε δ' Ἀλέξανδρον ἡ παρανομία ἡ ἐς τὸν Κύρου
τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέ-
λαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος. Εἶναι γὰρ ἐν
Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον
καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων καὶ ὕδατι εἶναι
κατάρρυτον καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι.
5 Αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον
σχῆμα πεποιῆσθαι, ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον,
θυρίδα ἔχον φέρουσαν εἴσω στενήν, ὡς μόλις ἂν εἶναι ἑνὶ ἀνδρὶ οὐ
μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. Ἐν δὲ τῷ οἰκήματι πύε-
λον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην ὑ-
πὸ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους καὶ τά-
πητα ἐπίβλημα τῶν Βαβυλωνίων καὶ καυνάκας πορφυροῦς ὑπο-
6 στρώματα. Ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυ-
λωνίου ἐργασίας. Καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβα-
φεῖς λέγει, ὅτι ἔκειντο, αἱ μὲν πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης
χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων
κολλητά, καὶ τράπεζα ἔκειτο. Ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔ-
κειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα.
7 Εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν
τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ ἐ-
φύλασσον τὸν Κύρου τάφον ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς πα-
ρὰ πατρὸς ἐκδεχόμενος τὴν φυλακήν. Καὶ τούτοις πρόβατόν τε ἐς ἡ-
μέραν ἐδίδοτο ἐκ βασιλέως καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ
8 ἵππος κατὰ μῆνα ἐς θυσίαν. Ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς
γράμμασι· καὶ ἐδήλου περσιστὶ τάδε· ὦ ἄνθρωπε, ἐγὼ
Κῦρός εἰμι ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρ-
σαις καταστησάμενος καὶ τῆς Ἀσίας βασι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεύσας· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

9 Ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο ἀφελόντες τὸ πῶμα τῆς πυέλου καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκόν σφισι ποιήσασθαι καὶ ταύτῃ εὔφορον τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. Ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον.

10 Καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον. Καὶ τοῦ μὲν σώματος ὅσάπερ ἔτι σῶα ἦν καταθεῖναι ἐς τὴν πύελον καὶ τὸ πῶμα ἐπιθεῖναι, ὅσα δὲ λελώβητο αὐτῆς, κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἆλλα, ὅσα ἐς κόσμον ἔκειτο, κατὰ ἀριθμόν τε καὶ τοῖς πάλαι ὅμοια ἀποθεῖναι καὶ τὴν θυρίδα δὲ ἀφανίσαι τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν. Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς Μάγους 11
τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας· οἱ δὲ οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ἐξηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

[Ἀπό τίς Πασαργάδες ὁ Ἀλέξανδρος προχωρεῖ πρός τήν Περσέπολη καί μετά πρός τά Σοῦσα. Ἐκεῖ παντρεύεται τή μεγαλύτερη κόρη τοῦ Δαρείου καί πείθει πολλούς ἐπιφανεῖς Μακεδόνες νά παντρευτοῦν Περσίδες. Ἀκόμη δέχεται 30.000 ὁπλίτες Πέρσες στό στρατό του πού τούς ὀνομάζει Ἐπιγόνους. Ὅμως οἱ στρατιῶτες τοῦ Μ. Ἀλεξάνδρου εἶναι δυσαρεστημένοι ἀπό τήν εὔνοια πού δείχνει ὁ ἀρχηγός τους στούς Πέρσες. Στήν πόλη Ὦπη ξεσπᾶ στάση στό στρατό, ἀλλ' ὁ Ἀλέξανδρος κατορθώνει νά τήν καταπνίξει. Μιλώντας σέ τόνο πολύ αὐστηρό ὑπενθυμίζει στούς στρατιῶτες του ὅλα ὅσα οἱ Μακεδόνες χρωστοῦν στόν ἴδιο καί τόν πατέρα του καί τούς ἀναγκάζει νά ζητήσουν μετανιωμένοι συγνώμη. Τούς συγχωρεῖ καί ἔπειτα Πέρσες καί Ἕλληνες γιορτάζουν, ὅλοι μαζί, τή συμφιλίωση.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Συνεχίζοντας τήν πορεία του ὁ Ἀλέξανδρος φτάνει στά Ἐκβάτανα, ὅπου ὀργανώνει ἀγῶνες καί γιορτές. Τότε χάνει τόν ἐπιστήθιο φίλο του, τόν Ἡφαιστίωνα, πού ὁ θάνατός του τόν βυθίζει σέ βαθιά θλίψη. Στέλνει τό νεκρό νά ταφεῖ στή Βαβυλώνα, ὅπου πηγαίνει καί ὁ ἴδιος μετά. Στό δρόμο καί στήν πόλη ἔρχονται νά τόν δοῦν πρέσβεις ἀπό διάφορα μέρη τοῦ κόσμου καί ἀπό τήν Ἑλλάδα, γιά νά τόν συγχαροῦν καί νά τόν στεφανώσουν.

Ὁ Ἀλέξανδρος ἔχει φτάσει στή μεγαλύτερη ἀκμή τῆς δόξας του. Ἡ νέα ἐκστρατεία πού σχεδιάζει ἔχει γιά στόχο της τήν Ἀραβία. Μά δέ θά προλάβει νά τήν πραγματοποιήσει. Εἶχε ἀρχίσει κιόλας τίς προετοιμασίες, ὅταν πέφτει ἄρρωστος βαριά. Πεθαίνει μετά ἀπό ὀκτώ μέρες (323 π.Χ.)].

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΕΒΔΟΜΟ

Χαρακτηρισμός τοῦ ᾿Αλεξάνδρου

(᾿Επίλογος τοῦ συγγραφέα Κεφ. 28–30)

XXVIII. ᾿Ετελεύτα μὲν δὴ ᾿Αλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ ᾿Ολυμπιάδι ἐφ᾿ ῾Ηγησίου ἄρχοντος ᾿Αθήνησιν· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει ᾿Αριστόβουλος· ἐβασίλευσε δὲ δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ τούτους μῆνας, τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος τὴν γνώμην γενόμενος καὶ ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος· ἡδονῶν δὲ 2
τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὐτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. Καὶ οὖν καὶ ὅσα ἐν τῷ ἐμφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ 3
θάρσει ἔπραξεν· ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα ἢ ὁμολογηθέντα φυλάξαι βεβαιότατος, πρὸς δὲ τῶν ἐξαπατώντων μὴ ἁλῶναι ἀσφαλέστατος· χρημάτων τ᾿ ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ φειδωλότατος, ἐς δ᾿ εὐποιίαν τῶν πέλας ἀφθονώτατος.

XXIX. Εἰ δέ τι ἐπλημμελήθη ᾿Αλεξάνδρῳ δι᾿ ὀξύτητα ἢ ὑπ᾿ ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι, οὐ μεγάλα τίθεμαι ἔγωγε, εἰ τὴν νεότητά τε τις τὴν ᾿Αλεξάνδρου μὴ ἀνεπιεικῶς ἐνθυμηθείη καὶ τὸ διηνεκὲς τῆς εὐτυχίας καὶ τοὺς πρὸς ἡδονήν, οὐκ ἐπὶ τῷ βελτίστῳ, τοῖς βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομένους· ἀλλὰ μεταγνῶναί γε, ἐφ᾿ οἷς ἐπλημμέλησε, μόνῳ οἶδα τῶν πάλαι βασιλέων ᾿Αλεξάνδρῳ ὑπάρξαν ὑπὸ γενναιότητος. Οἱ δὲ πολλοί, εἰ καί τι ἔγνωσαν πλημμελήσαντες, οἱ δὲ τῷ προηγορεῖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοῦ, ὡς καλῶς δὴ πραχθέντος, ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν,
κακῶς γιγνώσκοντες. Μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας ὁμο-
λογεῖν τε ἁμαρτόντα καὶ δῆλον εἶναι ἐπ' αὐτῷ μεταγιγνώσκοντα,
ὡς τοῖς πα^οῦσί τι ἄχαρι οὐ πάντῃ χαλεπὰ τὰ παθήματα φαινόμενα,
εἰ ὁ δράσας αὐτὰ ξυγχωροίη, ὅτι οὐ καλὰ ἔδρασεν, αὐτῷ τέ τινι ἐς
τὸ μέλλον ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε ἂν παρα-
πλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος
φαίνοιτο.

3 Ὅτι δ' ἐς θεὸν τὴν γένεσιν τὴν αὐτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ
δοκεῖ μέγα εἶναι αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυχὸν
ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα· οὔκουν δοκεῖ ἔμοιγε ἢ Μίνωος
γενέσθαι βασιλεὺς ἀφανέστερος ἢ Αἰακοῦ ἢ Ῥαδαμάνθυος· οἷς δὴ ἐς
Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων οὐδεμιᾷ αὐ-
τῶν ὕβρει προστίθεται· οὐδὲ Θησέως τοῦ Ποσειδῶνος οὐδὲ Ἴωνος
4 τοῦ Ἀπόλλωνος. Ὡς ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα δοκεῖ
εἶναι πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντῃ ἀλλότριον αὐτῶν φαίνε-
σθαι τὸν βασιλέα, καὶ πρὸς τοὺς Μακεδόνας, ὡς ἀποστροφήν τινα
εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε καὶ ὕβρεως τῆς Μακεδονικῆς· ἐφ'
ὅτῳ δὴ καὶ ἐγκαταμεῖξαί μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας
τοὺς μηλοφόρους καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. Καὶ οἱ πότοι,
ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο
(οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον), ἀλλὰ φιλοφροσύνης τῆς ἐς
τοὺς ἑταίρους.

XXX. Ὅστις δὲ κακίζει Ἀλέξανδρον, μὴ μόνον, ὅσα ἄξια
κακίζεσθαί ἐστιν, προφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα τὰ Ἀλε-
ξάνδρου ἐς ἓν χωρίον ξυναγαγὼν οὕτω δὴ ἐκλογιζέσθω, ὅστις τ' ὢν
αὐτὸς καὶ ὁποίᾳ τύχῃ κεχρημένος, ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς
ὅσον εὐτυχίας ἀνθρωπίνης ἐλθόντα, βασιλέα τ' ἀμφοῖν τοῖν ἠπείροιν
ἀναμφιλογώτατα γενόμενον καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ αὐτοῦ ὀνό-
ματι κακίζει, σμικρότερός τ' ὢν αὐτὸς καὶ ἐπὶ σμικροῖς πονούμενος
καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος.

2 Ὡς ἔγωγε δοκῶ, ὅτι οὔτε τι ἔθνος ἀνθρώπων οὔτε τις πόλις ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ τότε ἦν οὔτε τις εἷς ἄνθρωπος, ἐς ὃν οὐ πεφοιτήκει τὸ Ἀλεξάνδρου ὄνομα. Οὔκουν οὐδ' ἐμοὶ ἔξω τοῦ θείου φῦναι δοκεῖ ἀνὴρ οὐδενὶ ἄλλῳ ἀνθρώπων ἐοικώς. Καὶ ταῦτα χρησμοί τ' ἐπισημῆναι ἐπὶ τῇ τελευτῇ τῇ Ἀλεξάνδρου λέγονται καὶ φάσματα ἄλλα ἄλλοις γενόμενα καὶ ἐνύπνια φανέντα ἄλλα ἄλλοις καὶ ἡ ἐς τοῦτο ἐξ ἀνθρώπων τιμή τ' αὐτοῦ καὶ μνήμη οὐκ ἀνθρωπίνη οὖσα, καὶ νῦν δὲ διὰ τοσούτου ἄλλοι χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ ἔθνει τῶν Μακεδόνων χρησθέντες. 3 Ἐπεὶ καὶ αὐτὸς ἐμεμψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ τῶν Ἀλεξάνδρου ἔργων, ἀλλὰ αὐτόν γ' Ἀλέξανδρον οὐκ αἰσχύνομαι θαυμάζων· τὰ δ' ἔργα ἐκεῖνα ἐκάκισα ἀληθείας τε ἕνεκα τῆς ἐμῆς καὶ ἅμα ὠφελείας τῆς ἐς τοὺς ἀνθρώπους· ἐφ' ὅτῳ ὡρμήθην οὐδ' αὐτὸς ἄνευ θεοῦ ἐς τήνδε τὴν ξυγγραφήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοῦ, ὡς καλῶς δὴ πραχθέντος, ἐπικαλύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γιγνώσκοντες. Μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας ὁμολογεῖν τε ἁμαρτόντα καὶ δῆλον εἶναι ἐπ' αὐτῷ μεταγιγνώσκοντα· ὡς τοῖς τε παθοῦσί τι ἄχαρι οὐ πάντη χαλεπὰ τὰ παθήματα φαινόμενα, εἰ ὁ δράσας αὐτὰ ξυγχωρήσειεν ὅτι οὐ καλὰ ἔδρασεν, αὐτῷ τέ τινι ἐς τὸ μέλλον ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε ἂν παραπλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος φαίνοιτο.

3 Ὅτι δ' ἐς θεὸν τὴν γένεσιν τὴν αὑτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ δοκεῖ μέγα εἶναι αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυχὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα· οὔκουν δοκεῖ ἔμοιγε ἢ Μίνως γενέσθαι βασιλεὺς ἀφανέστερος ἢ Αἰακοῦ ἢ Ῥαδαμάνθυος· οἷς δὴ ἐς Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων οὐδεμιᾷ αὐτῶν ὕβρει προστίθεται· οὐδὲ Θησέως τοῦ Ποσειδῶνος οὐδὲ Ἴωνος
4 τοῦ Ἀπόλλωνος. Ὡς ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα δοκεῖ εἶναι πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντη ἀλλότριον αὐτῶν φαίνεσθαι τὸν βασιλέα, καὶ πρὸς τοὺς Μακεδόνας, ὡς ἀποστροφήν τινα εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε καὶ ὕβρεως τῆς Μακεδονικῆς· ἐφ' ὅτῳ δὴ καὶ ἐγκαταμεῖξαί μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας τοὺς μηλοφόρους καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. Καὶ οἱ πότοι, ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο (οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον), ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους.

XXX. Ὅστις δὲ κακίζει Ἀλέξανδρον, μὴ μόνον, ὅσα ἄξια κακίζεσθαί ἐστιν, προφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα τὰ Ἀλεξάνδρου ἐς ἓν χωρίον ξυναγαγὼν οὕτω δὴ ἐκλογιζέσθω, ὅστις τ' ὢν αὐτὸς καὶ ὁποίᾳ τύχῃ κεχρημένος, ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας ἀνθρωπίνης ἐλθόντα, βασιλέα τ' ἀμφοῖν τοῖν ἠπείροιν ἀναμφιλογώτατα γενόμενον καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ αὐτοῦ ὀνόματι κακίζει, σμικρότερός τ' ὢν αὐτὸς καὶ ἐπὶ σμικροῖς πονούμενος καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος.

2 Ὡς ἔγωγε δοκῶ, ὅτι οὔτε τι ἔθνος ἀνθρώπων οὔτε τις πόλις ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΡΟΣ Β΄

ΕΡΜΗΝΕΥΤΙΚΕΣ ΣΗΜΕΙΩΣΕΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟ ΠΡΩΤΟ

Κεφάλαιο 1

1—3. Λέγεται, ἐδῶ ἡ σύνταξη προσωπική. — **ἐπ' ἄρχοντος Πυθοδήμου,** δηλ. τό 336 π.Χ. (οἱ ἀρχαῖοι Ἕλληνες συνήθως, γιά νά χρονολογήσουν τά γεγονότα, χρησιμοποιοῦσαν τό ὄνομα τοῦ πρώτου ἄρχοντα τῶν Ἀθηνῶν, πού γι' αὐτό καί ὀνομαζόταν **ἐπώνυμος**). — **παραλαβόντα... Ἀλέξανδρον... παρελθεῖν·** τό ἀπαρέμφατο ἀπό τό **λέγεται** (ἐδῶ ἡ σύνταξη μετατρέπεται σέ ἀπρόσωπη· ὅλα τά ἀπαρέμφατα ὥς τό τέλος τῆς § 3 εἶναι ἐξαρτημένα ἀπό τό **λέγεται·** στή μετάφραση νά ἀποδοθοῦν μέ ρήματα ἀορ. ἤ παρατ.). — **ἐς Πελοπόννησον,** δηλ. στήν Κόρινθο.—**παρέρχομαι** πηγαίνω. — **Φιλίππῳ ἔδοσαν** (=εἶχαν δώσει), τό 337 π.Χ. στήν κοινή συνέλευση, πού ἔκαναν τότε οἱ Ἕλληνες στήν Κόρινθο. — **παρ' ἑκάστων** ἀπό τόν καθένα χωριστά, ἀπ' ὅλους (τούς ἐκπροσώπους τῶν πόλεων). — **πλὴν Λακεδαιμονίων,** αὐτοί καί στό Φίλιππο ἐπίσης εἶχαν ἀρνηθεῖ νά δώσουν τήν ἡγεμονία. — **ἐξηγοῦμαί τινος** προηγοῦμαι, εἶμαι κάποιου ἀρχηγός. — **νεωτερίζω** στασιάζω, δείχνω διάθεση γιά στάση. — **ἄττα = τινὰ** (**νεωτερίσαι ἄττα** ὅτι ἔδειξε κάποια διάθεση γιά στάση, φάνηκε κάπως ἐχθρική). — **ἔφοδος** ἐμφάνιση. — **ἐκπλήττομαι** φοβοῦμαι. — **ἐς τιμὴν ξυγχωρῶ τινί τι** δίνω σέ κάποιον κάτι γιά νά τόν τιμήσω. Οἱ Ἀθηναῖοι εἶχαν προσφέρει μεγάλες τιμές στό Φίλιππο (τοῦ ἔδωσαν τό δικαίωμα τοῦ πολίτη, τοῦ ἔστησαν ἀνδριάντα « ὡς εὐεργέτου τῆς πόλεως » καί ἄλλα)· τώρα ἀποφασίζουν νά δώσουν στόν Ἀλέξανδρο δυό χρυσά στεφάνια καί τοῦ ἀπονέμουν θεϊκές τιμές. — **στόλος** ἐκστρατεία.

Κεφάλαιο 11

3—5. ἐξελαύνω ξεκινῶ, ἐξορμῶ. — **ἐπιτρέπω τινί τι** ἀναθέτω σέ κάποιον κάτι. — **Ἀντίπατρος,** γιός τοῦ Ἰόλα, περίφημος στρατηγός καί ἔμπιστος τοῦ Φιλίππου πού πῆρε τήν ἀντιβασιλεία στή Μακεδονία κατά τήν ἀπουσία τοῦ Ἀλεξάνδρου. — **πεζοὺς μὲν ξὺν ψιλοῖς τε καὶ τοξόταις** (βλ. εἰσαγ.). — **ὁ στόλος** ἡ πορεία. — **Κερκινῖτις,** λίμνη κοντά στίς ἐκβολές τοῦ Στρυμόνα (μέ 35 χιλιομ. μῆκος καί 1—3 μ. βάθος). — **ὡς ἐπὶ** =**πρός.** — **Ἀμφίπολις,** ἀποικία τῶν Ἀθηναίων στή Μακεδονία, κοντά στόν Στρυμόνα, ὄχι μακριά ἀπ' τήν παραλία· ὁ **Στρυμὼν** ποταμός δια-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σχίζει ὅλη τή Μακεδονία καί, μετά ἀπό 430 χιλιομ., χύνεται στόν ὁμώνυμο κόλπο. — **παρήμειβε τὸ Πάγγαιον ὄρος τὴν (ὁδὸν) ὡς ἐπ' Ἄβδηρα** παρέκαμψε τό βουνό Πάγγαιο καί προχωροῦσε στό δρόμο πού ὁδηγοῦσε στά Ἄβδηρα. — **Πάγγαιον,** βουνό τῆς ἀνατ. Μακεδονίας ἀνάμεσα στό Στρυμόνα καί τό Νέστο. — **Ἄβδηρα,** πόλη τῆς Θράκης κοντά στίς ἐκβολές τοῦ Νέστου (οἱ κάτοικοί της Ἀβδηρίτες εἶχαν φήμη ἀνόητων ἀνθρώπων). — **Μαρώνεια,** πόλη κοντά στά Ἄβδηρα. — **ἐπὶ θαλάσσῃ ᾠκισμένας** παραθαλάσσιες. — **ἔνθεν =ἐντεῦθεν.** — **Ἕβρος,** ὁ μεγαλύτερος ποταμός τῆς ἑλληνικῆς χερσονήσου· πηγάζει ἀπ' τό βουνό Ρίλο (ἀρχ. **Σκόμιον**), διασχίζει τήν ἀνατολ. Ρωμυλία καί Θράκη καί, μετά ἀπό 490 χιλιομ., χύνεται στό Θρακικό πέλαγος). — **εὐπετῶς** εὔκολα. — **Παιτική,** χώρα τῆς βόρειας Θράκης ἀνάμεσα στόν Ἕβρο καί τόν **Μέλανα** ποταμό, πού χύνεται στόν ὁμώνυμο κόλπο (σημερ. Σάρο). — **Σηστός,** πόλη τῆς θρακ. χερσονήσου ἀπέναντι ἀπό τήν Ἄβυδο, ἀποικία τῶν Μυτιληναίων (ἐκεῖ κοντά ὁ Ξέρξης ἔζεψε τό 480 π. Χ. τόν Ἑλλήσποντο, γιά νά περάσουν τά στρατεύματά του στήν Εὐρώπη). — **Ἐλαιοῦς,** πόλη τῆς θρακ. χερσονήσου στήν εἴσοδο τοῦ Ἑλλησπόντου. — **Πρωτεσίλαος,** ἥρωας τοῦ Τρωικοῦ πολέμου πού πήδησε πρῶτος στή στεριά, ὅταν οἱ Ἕλληνες ἀποβιβάστηκαν στήν ἀσιατική ἀκτή, καί σκοτώθηκε ἀμέσως ἀπό τόν Ἕκτορα. — **τῶν Ἑλλήνων,** ἡ γεν. ἀπό τό **πρῶτος.** — **τῶν ἅμα Ἀγαμέμνονι στρατευσάντων** πού ἐκστρατεύσανε μαζί μέ τόν Ἀγαμέμνονα (τόν ἀρχηγό τῆς ἐκστρατείας τῶν Ἑλλήνων στήν Τροία). — **Ἴλιον,** ἡ Τροία, πρωτεύσουσα τῆς Τρωάδας (τό ὄνομά της τό πῆρε ἀπό τόν ἱδρυτή της Ἶλο). — **ὁ νοῦς** ὁ σκοπός. — **οἱ= ἑαυτῷ (τῷ Ἀλεξάνδρῳ).—**

6. Παρμενίων, ξακουστός Μακεδόνας στρατηγός τοῦ Φίλιππου Β΄ καί τοῦ Ἀλεξάνδρου πού πῆρε μέρος στήν ἐκστρατεία σάν ἀρχηγός τοῦ πεζικοῦ. — **ἡ ἵππος**, τό ἱππικό. —**Ἄβυδος,** πόλη τῆς Τρωάδας στόν Ἑλλήσποντο, ἀπέναντι ἀπό τή Σηστό. — **τριήρεσι,** ἡ τριήρης ἦταν τό κυριότερο πολεμικό πλοῖο τῶν ἀρχαίων, μέ τρεῖς ἐπάλληλες σειρές ἀπό κουπιά σέ κάθε πλευρά του (γι' αὐτό καί ὀνομάστηκε **τριήρης**). — **πλοίοις δὲ ἄλλοις πολλοῖς στρογγύλοις** καί ἀκόμη **(=ἄλλοις)** καί μέ πολλά πλοῖα φορτηγά (πού εἶχαν σχῆμα στρογγυλό). — **ἐς τὸν Ἀχαιῶν λιμένα,** αὐτός ἦταν μικρός κόλπος στήν παραλία τῆς Τρωάδας, κοντά στό ἀκρωτήριο Σίγειο, καί ὀνομάστηκε ἔτσι ἀπό τούς Ἕλληνες στά χρόνια τοῦ Τρωικοῦ πολέμου. — **κατᾶραι,** τοῦ ρ. **καταίρω** καταπλέω, πιάνω λιμάνι. — **ὁ πλείων λόγος κατέχει** ἡ κοινή παράδοση ἀναφέρει, ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κόσμος λέει.— **αὐτὸν** μόνος του, μέ τό ἴδιο του τό χέρι. — **διαβάλλω** διαβαίνω, περνῶ ἀπέναντι. — **ἡ στρατηγὶς ναῦς** ἡ ναυαρχίδα. — **τῷ Ποσειδῶνι καὶ Νηρηίσι,** γιά νά τόν προστατεύουν ὁ θεός τῆς θάλασσας Ποσειδώνας καί οἱ Νηρηίδες (νύμφες τῆς θάλασσας), καθώς θά περνᾶ. — **σπένδω** κάνω σπονδή (χύνοντας κρασί). — **φιάλη,** πλατύ καί ρηχό δοχεῖο μέ δυό λαβές. — **πόντος** θάλασσα.

7. βωμὸς θυσιαστήριο (πού πάνω του γίνονταν οἱ θυσίες). — **στέλλομαι** ξεκινῶ μέ τό πλοῖο. — **ἐκ τῆς Εὐρώπης,** ἐνν. τή Σηστό. — **τῆς Ἀσίας,** δηλ. στήν Ἄβυδο. — **ἀποβατήριος** ὀνομαζόταν ὁ Δίας, ἐπειδή προστάτευε τήν ἀπόβαση. — **τῇ Ἀθηνᾷ τῇ Ἰλιάδι,** ἡ Ἀθηνᾶ ὀνομαζόταν **Ἰλιὰς** (Ἰλιακή), ἐπειδή τήν τιμοῦσαν στό Ἴλιο. — **θῦσαι,** ἀπ' τό **λέγουσι** (ὅπως καί τά ἀπαρ. **ἀναθεῖναι, καθελεῖν,** πιό κάτω). — **καθαιρῶ** κατεβάζω καί παίρνω. — **ὑπασπισταί,** ἐδῶ: οἱ ἀσπιδοφόροι. — **θῦσαι δ' αὐτόν,** ἀπό τό **λόγος κατέχει,** πιό κάτω. — **Πρίαμος,** ὁ βασιλιάς τῆς Τροίας τόν καιρό τοῦ Τρωικοῦ πολέμου. — **τοῦ Ἑρκείου·** τό Δία τόν ὀνόμαζαν Ἑρκεῖο, ἐπειδή τόν θεωροῦσαν προστάτη τοῦ σπιτιοῦ καί τοῦ ἔστηναν βωμό στό προαύλιο τῶν σπιτιῶν (=**ἕρκος**). — **παραιτοῦμαι** ζητῶ νά ἀποτρέψω (**παραιτούμενον,** γιατί ζητοῦσε νά ἐξιλεώσει). — **ἡ μῆνις** (γεν. **μήνιος**) ἡ ὀργή. — **μῆνιν Πριάμου... Νεοπτολέμου γένει,** ὁ Νεοπτόλεμος, γιός τοῦ Ἀχιλλέα, εἶχε σκοτώσει τό γέροντα· Πρίαμο κοντά στό βωμό τοῦ **Ἑρκείου Διός·** γι' αὐτό τώρα ὁ Ἀλέξανδρος ἤθελε νά ἐξευμενίσει τήν ψυχή τοῦ Πριάμου, πού ἔνιωθε ὀργή γιά τή γενιά τοῦ Νεοπτόλεμου. — **καθῆκε,** τοῦ **καθίημι** κατεβαίνω, φτάνω· **ὃ δὴ ἐς αὐτὸν καθῆκεν** στήν ὁποία (γενιά), ὅπως ξέρουμε, ἀνῆκε κι αὐτός· (ὁ Ἀλέξανδρος καταγόταν, ἀπό τήν πλευρά τοῦ πατέρα του, ἀπό τή γενιά τοῦ Ἡρακλῆ, ἀπό τήν πλευρά τῆς μητέρας του, ἀπό τή γενιά τῶν Αἰακιδῶν, στήν ὁποία ἀνῆκαν καί ὁ Ἀχιλλέας καί ὁ Νεοπτόλεμος).

Κεφάλαιο 12

1. ἀνιόντα (μτχ. χρον.), τοῦ **ἀνέρχομαι.— ἐπὶ τούτῳ** μετά ἀπ' αὐτόν. — **ἐκ Σιγείου,** τό Σίγειο ἦταν πόλη τῆς Τρωάδας κοντά στήν εἴσοδο τοῦ Ἑλλησπόντου, ὅπου καί τό ὁμώνυμο ἀκρωτήριο. — **ἄρα** ἔπειτα. — **Ἡφαιστίων,** ἐπιστήθιος φίλος τοῦ Ἀλέξανδρου πού πῆρε μέρος σ' ὅλες τίς ἐκστρατεῖες του καί πέθανε τό 324 π.Χ. — **Πάτροκλος ,** ὁ πιστός φίλος τοῦ Ἀχιλλέα. (Ποιό νόημα εἶχε ἡ πράξη τοῦ Ἡφαιστίωνα;). — **εὐ-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δαιμονίζω καλοτυχίζω. — **κήρυκος,** κτγ. — **ἐς τὴν ἔπειτα μνήμην** γιά νά τόν θυμοῦνται, νά τόν δοξάζουν οἱ ἑπόμενες γενιές.

6-7. Ἀρίσβη, πόλη τῆς Τρωάδας κοντά στήν Ἄβυδο. — **οὗ** ὅπου. — **Περκώτη,** πόλη τῆς Μυσίας κοντά στόν Ἑλλήσποντο, ἀνάμεσα στήν Ἄβυδο καί τή Λάμψακο· ἡ **Λάμψακος** βρισκόταν καί αὐτή κοντά στόν Ἑλλήσποντο (ἀπέναντι ἀπό τήν Καλλίπολη)· ἀπό κεῖ ξεκίνησε τό 405 π.Χ. ὁ Σπαρτιάτης Λύσανδρος καί κατάστρεψε τό στόλο τῶν Ἀθηναίων στούς Αἰγός ποταμούς. — **παραμείβω** προσπερνῶ. — **πρός,** μέ δοτ.=κοντά. — **Πράκτιος,** μικρός ποταμός στήν Τρωάδα. — **ἐκ τῶν ὀρῶν τῶν Ἰδαίων** ἀπό τό βουνό **Ἴδη** — **ἐκδιδοῖ** (=**ἐκδίδωσι**) χύνεται. — **ἐς θάλασσαν,** δηλ. στήν Προποντίδα. — **Ἕρμωτος,** κωμόπολη ἀνάμεσα στή Λάμψακο καί τίς Κολωνές. — **Κολωναί,** πόλη τῆς Μυσίας πιό πάνω ἀπ' τή Λάμψακο. — **σκοποί,** στρατιῶτες πού πήγαιναν μπροστά γιά νά κατασκοπεύουν, ἀνιχνευτές. — **αὐτῷ** ἀπ' αὐτόν. — **τῶν ἑταίρων** (βλ. εἰσαγωγή). **ἐξ Ἀπολλωνίας,** πόλη τῆς Μυγδονίας, χώρας τῆς Μακεδονίας, κοντά στή λίμνη Βόλβη. — **πρόδρομοι,** οἱ ἐλαφρά ὁπλισμένοι ἱππεῖς, πρόσκοποι (βλ. εἰσαγ.). — **πάροδος** διέλευση, πέρασμα. — **Πρίαπος,** πόλη κοντά στήν Προποντίδα, στίς ἐκβολές τοῦ Γρανικοῦ ποταμοῦ, ἀποικία τῶν Μιλησίων. — **ἐνδίδομαι** παραδίνομαι.

8. τῆς πρὸς Ἑλλησπόντῳ Φρυγίας, δηλ. αὐτῆς πού ὀνομαζόταν Μικρή Φρυγία (ἐνῶ ἀντίθετα ἡ Μεγάλη Φρυγία βρισκόταν στό ἐσωτερικό). — **ὕπαρχος** ὑποδιοικητής. — **Ζέλεια,** πόλη τῆς Μυσίας κοντά στούς πρόποδες τῆς Ἴδης. — **τοῖς Ἕλλησι τοῖς μισθοφόροις,** στόν περσικό στρατό ὑπηρετοῦσαν Ἕλληνες μισθοφόροι πού σχημάτιζαν ξεχωριστό σῶμα.

9-10. ὑπὲρ (=περὶ) τῶν παρόντων (δηλ. **πραγμάτων**) γιά τήν παροῦσα κατάσταση. — **Μέμνων ὁ Ῥόδιος,** περίφημος στρατηγός πού ὑπηρετοῦσε στόν περσικό στρατό. — **διὰ κινδύνου ἔρχομαι πρός τινα** διακινδυνεύω πολεμῶντας ἐναντίον κάποιου. —**περιόντας** (αἰτιολ. μτχ.), τοῦ **περίειμι** εἶμαι ἀνώτερος. — **προϊόντας** (χρον. μετ.) τοῦ **προέρχομαι** ὑποχωρῶ.— **χιλὸς** τό χορτάρι. — **ἀφανίζω** καταστρέφω.— **ἐμπίπρημι** καίω (τά ἀπαρ. ἀπό τό **παρήνει,** πιό πάνω). — **τῶν πόλεων αὐτῶν** γιά τίς ἴδιες τους τίς πόλεις. — **μενεῖν,** ἀπό τό **ἔλεγε,** πού ἐννοεῖται. — **Ἀρσίτην δὲ**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀντίθετα ὁ Ἀρσίτης (ὕπαρχος ἐκείνης τῆς Φρυγίας πού ἦταν κοντά στόν Ἑλλήσποντο). — **ὅτι οὐκ ἂν περιίδοι** = **ὅτι οὐ περιόψεται· περιορῶ** ἀδιαφορῶ, ἀνέχομαι, ἐπιτρέπω. — **τῶν ὑφ' οἷ (=τῶν ὑφ' ἑαυτῷ) τεταγμένων ἀνθρώπων** τῶν ὑπηκόων του. — **Ἀρσίτῃ =τῇ Ἀρσίτου γνώμῃ.** — **προσθέσθαι** (ἀπό τό **λέγεται**)· **προστίθεμαί τινι** συμφωνῶ μέ κάποιον. — **ὅτι καὶ** ἐπειδή καί (δηλ. ἐκτός ἀπό τούς ἄλλους λόγους). — **ὕποπτόν τι αὐτοῖς ἦν ἐς τὸν Μέμνονα** εἶχαν κάποια ὑποψία ὅτι ὁ Μέμνων.... — **τριβὰς ἐμποιῶ τινι** ἀναβάλλω κάτι. — **ἑκόντα** ἐπίτηδες. — **τῆς ἐκ βασιλέως τιμῆς οὕνεκα** γιά νά ἐξακολουθεῖ νά ἔχει τήν ἐκτίμηση τοῦ βασιλιᾶ.

Κεφάλαιον 13

1-2. Γρανικός, μικρός ποταμός τῆς ΒΔ Μικρᾶς Ἀσίας στήν ἀρχαία Μυσία· πηγάζει ἀπό τίς πλαγιές τῆς Ἴδης καί χύνεται στήν Προποντίδα. — **διπλῆν,** γιατί ὁ χῶρος ἦταν στενός καί δέν ἐπέτρεπε ν' ἀναπτύξουν τό στρατό σέ μιά φάλαγγα. — **ἐπιτάσσω** διατάζω. — **σκευοφόρα** τά φορτηγά ζῶα, τά μεταγωγικά. — **τοὺς προκατασκεψομένους,** ἐκείνους πού ἐπρόκειτο νά ἀνιχνεύσουν. — **τὰ τῶν πολεμίων** τίς θέσεις τῶν ἐχθρῶν. — **αὐτῷ,** δοτ. ἠθική (στή μετάφραση μποροῦμε νά τό παραλείψουμε). — **σαρισοφόροι** ὅσοι κρατοῦσαν σάρισα, δηλ. τό μακεδονικό μακρύ δόρυ (βλ. εἰσαγ.). — **οἱ ἀπὸ (=ὑπὸ) τῶν σκοπῶν,** δηλ. **προπεμφθέντες** ὅσοι ἀπό τούς προσκόπους εἶχαν σταλθεῖ μπροστά. — **ἐπὶ τῷ Γρανικῷ πέραν** στήν ἀπέναντι ὄχθη τοῦ Γρανικοῦ. — **ἐφεστάναι** (ἀπ' τό **ἀπήγγελλον**) ὅτι οἱ Πέρσες εἶχαν σταθεῖ. — **ὡς μαχουμένους** (ἀντί **ὡς μαχουμένην,** σχῆμα κατά τό νοούμενο), μτχ. τελική.

3-5. ὡς ἔχομεν, δηλ. ἔνοπλοι. — **αὐλισθῆναι,** ἀπό τό **τολμήσειν· αὐλίζομαι** στρατοπεδεύω. — **ταύτῃ** (ἐπίρ.)=ἔτσι, γι' αὐτό. — **παρέξειν,** τοῦ ἀπροσ. **παρέχει** εἶναι δυνατό (τό **παρέξειν** ἀπ' τό **δοκῶ**). — **ἕωθεν** τό πρωί, πρωί-πρωί. — **τῷ στρατῷ,** ἀπό τό **παρέξειν** (θά μπορεῖ ὁ στρατός). — **διαβάλλω** περνῶ. — **πόρος** τό πέρασμα, ὁ ποταμός. — **εὐπετῶς** εὔκολα, χωρίς κόπο. — **ὑποφθάνω** (μὲ μτχ.)= προφταίνω νά... — **ἐς τάξιν καθίσταμαι** παρατάσσομαι γιά μάχη. — **ἐπιχειρῶ τῷ ἔργῳ** ἀρχίζω τή μάχη. — **ἐν μετώπῳ** (=**φάλαγγι**) σέ ἐκτεταμένη, πλατιά γραμμή (ὥστε ἡ παράταξη νά ἔχει μέτωπο μεγαλύτερο ἀπό τό βάθος). Ἀντίθετα: **κατὰ κέρας** ἢ **ἐπὶ κέρως** (βλ. καί πιό κάτω § 5) = σέ σειρά μέ μεγάλο μάκρος, βαθιά

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

(ὥστε ἡ παράταξη νά ἔχει μέτωπο 2-4 ἀνδρῶν καί βάθος πολλῶν). — **πολλὰ** (μέρη) **αὐτοῦ,** δηλ. τοῦ ποταμοῦ. — **εἰσίν αἵ= τινές.** — **ἀτάκτως καί κατὰ κέρας ἐκβαίνουσι** (μτχ. ὑποθ.), ἐνν. **ἡμῖν** ἄν βγαίνουμε χωρίς τάξη καί σέ σειρά μέ μεγάλο μάκρος. — **ἐπικείσονται,** τοῦ **ἐπιτίθεμαι.** — **ἧπερ ἀσθενέστατον,** ἐνν. **ἐστί** ἐκεῖ ὅπου θά εἶναι τό πιό ἀδύνατο σημεῖο στήν παράταξή μας. — **σφάλμα** ἀτυχία.— **χαλεπὸν** βλαβερό. — **εἰς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν** γιά τήν ἔκβαση ὅλου τοῦ ἀγώνα. — **σφαλερὸν** ἐπικίνδυνο.

6-7. οὕτω τῷ ὀνόματι μέ τέτοια ἔκφραση. — **ἐκφαυλίζω τινὰ** μιλῶ περιφρονητικά γιά κάποιον. — **εἴργω τινὰ τοῦ οὐ μὴ ποιεῖν τι=κωλύω τινὰ ποιεῖν τι.— πρὸς Μακεδόνων τῆς δόξης** ὅτι ταιριάζει στή δόξα τῶν Μακεδόνων. — **οὔτε πρὸς τῆς ἐμῆς... ὀξύτητος** οὔτε ὅτι ταιριάζει στή δική μου ἀποφασιστικότητα. — **ποιοῦμαι=ἡγοῦμαι.** — **ὅτι,** αἰτιολ.— **ἄξιον τοῦ σφῶν δέους** πού νά δικαιολογεῖ τό φόβο τους γιά μᾶς. — **ἐν τῷ παραυτίκα** ἀμέσως. — **ἔπαθον,** ὑποκ. οἱ Πέρσες.

Κεφάλαιο 14

1-3. ἡγησόμενο[illegible] [illegible] τελ.) ἐνν. **αὐτοῦ (τοῦ κέρατος)** τῆς ἀριστερῆς πτέρυγας. — [illegible] ἀναλαμβάνει τή διοίκηση. — **παρά[illegible]** (ἀμεταβ.) πορεύομαι [illegible]. — **προετάχθησαν τοῦ [illegible]** πρῶτοι στή δεξ[illegible] δεξιά πτέρυγα ἄκρη-ἄκρη. — **αὐτῷ =ὑπ' αὐτοῦ.** — **τοὺς ἑ[illegible]ς ἱππέας** τό βαρ[illegible]ικό (βλ. εἰσαγ.). — **τοὺς Ἀγριᾶνας,** [illegible]λύ πολεμικός πού κατο[illegible]οσε κοντά στή Ροδόπη καί τίς πηγές τοῦ Στρυμόνα· ὁ Ἀλέξανδρος τούς εἶχε ὑποτάξει καί τόν ἀκολούθησαν στήν ἐκστρατεία. — **σαρισοφόρος** (βλ. κεφ. 13, § 1). — **Φιλώτα ἐπετάχθη** παρατάχτηκε κοντά στό Φιλώτα. — **τοὺς Παίονας,** οἱ Παίονες ἦταν ἀρχαῖος λαός πού ζοῦσε στήν Παιονία, χώρα τῆς βόρειας Μακεδονίας ἀνάμεσα στόν Ἀξιό καί τό Στρυμόνα. — **τὴν ἴλην τὴν Σωκράτους,** ἀπό τήν Ἀπολλωνία, πόλη τῆς Μυγδονίας, χώρας τῆς Μακεδονίας, κοντά στή λίμνη Βόλβη. — **ἐχόμενοι δὲ τούτων** καί κοντά τους. — **οἱ ὑπασπισταὶ τῶν ἑταίρων,** σῶμα ἐλαφροῦ πεζικοῦ (βλ. εἰσαγ.). — **ἐπὶ τούτοις** (ἐνν. **ἐτάχθη**) κοντά τους. — **ἡ φάλαγξ,** ἐδῶ = τό τάγμα (τό ἴδιο καί πιό κάτω). — **ἐπὶ δὲ** (μέ ἐπιρ. σημ.)= καί κοντά. — **ἐπὶ δὲ ὧν — ἐπὶ δὲ (τούτοις ἐτάχθησαν οὗτοι), ὧν.—ἡ Κρατέρου φάλαγξ,** ὁ Κράτερος, ἕνας ἀπό τούς πιό γνωστούς στρατηγούς τοῦ Ἀλεξάνδρου,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἦταν ἀρχηγός ὅλου τοῦ πεζικοῦ τῆς ἀριστερῆς πτέρυγας σ' αὐτή τή μάχη (τό ἴδιο καί στήν Ἰσσό καί στά Ἄρβηλα). — **ἔστ(ε) ἐπὶ τὸ μέσον** ὥς τή μέση (ὅλης τῆς φάλαγγας)· ἡ φάλαγγα τῶν Μακεδόνων χωριζόταν συνήθως σέ 6 τάξεις· ἐδῶ ὅμως χωρίζεται σέ 8.

4. ὀλίγον ἀποδέοντες λίγο λιγότεροι ἀπό..., σχεδόν. — **ἡ ἵππος** τό ἱππικό. — **παρατείνω** ἀναπτύσσω. — **τῷ ποταμῷ κατὰ τὴν ὄχθην** κατά μῆκος τῆς ὄχθης τοῦ ποταμοῦ. — **ὑπερδέξιος** πολύ ψηλός. — **τὰ χωρία** τά μέρη, τό ἔδαφος. — **ᾗ... ταύτῃ** ὅπου... ἐκεῖ. — **καὶ τῶν ἀμφ' αὐτὸν τῇ ξὺν ἐκπλήξει θεραπείᾳ** καί ἀπό τήν προθυμία τή γεμάτη σεβασμό, πού ἔδειχναν ὅσοι ἦταν γύρω του. — **ἐπέχοντα** ἀπό τό ρῆμα **καθεώρων,** πού φανερώνει αἴσθηση. — **ἐπέχω** ἔχω θέση. — **κατὰ τὸ εὐώνυμον σφῶν** ἀπέναντι ἀπό τήν ἀριστερή τους πτέρυγα.

